Syn. 6. 62.

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ
ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΕΛΕΤΙΟΥ

Ἀρχιεπισκόπου Ἀλεξανδρείας, Λιβύης, Πεντα-
πόλεως, Αἰθιωπίας, καὶ πάσης
γῆς Αἰγύπτου

ΠΕΡΙ ΤΗΣ ΑΡΧΗΣ ΤΟΥ ΠΑΠΑ
ὡς ἐν εἴδει ἐπιστολῶν.

D. 5. 73

Μάρκος κεφάλ. θ.

Πρὸς ἀλλήλους γὰρ διελέχθησαν ἐν τῇ ὁδῷ, τίς μείζων· καὶ καθίσας ἐφώνησε τοὺς δώδεκα, καὶ λέγει αὐτοῖς, εἴ τις θέλει πρῶτος εἶναι, ἔστω πάντων ἔσχατος, καὶ πάντων διάκονος.

Μάρκος κεφάλ. ι.

Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς, λέγει αὐτοῖς, οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν, κατακυριεύουσιν αὐτῶν, καὶ οἱ μεγάλοι αὐτῶν, κατεξουσιάζουσιν αὐτῶν· οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν· ἀλλ᾽ ὃς ἂν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, ἔστω διάκονος ὑμῶν· καὶ ὃς ἂν θέλῃ ὑμῶν γενέσθαι πρῶτος, ἔστω πάντων δοῦλος.

Ματθαῖος κεφάλ. κγ.

Ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββὶ, εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητὴς ὁ Χριστός· πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε· καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς, εἷς γάρ ἐστιν ὑμῶν ὁ πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς· μηδὲ κληθῆτε καθηγηταὶ, εἷς γὰρ ὑμῶν ἐστιν ὁ καθηγητὴς ὁ Χριστός· ὁ δὲ μείζων ὑμῶν, ἔσται ὑμῶν διάκονος.

Παῦλος πρὸς Κορινθίους .α. κεφάλ .γ.

Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός.

Πρὸς Ἐφεσίους κεφάλ. β.

Καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ Ἐκκλησίᾳ.

Πρὸς Ἐφεσίους κεφάλ. α.

Ἄρα οὖν οὐκ ἔτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων, καὶ οἰκεῖοι Θεοῦ, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ.

59-22

ΜΕΛΕΤΙΟΣ ΕΛΕΩ-
ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ
ΑΛΕΞΑΝΔΡΕΙΑΣ:

Τῷ ἐνδοξοτάτῳ καὶ ἐκλαμπροτάτῳ εὐσεβεστάτῳ τε καὶ ὀρθοδοξοτάτῳ αὐθέντῃ καὶ δεσπότῃ Ὀστροβείας, ἀρχηγῷ Λιτουανείας καὶ Κυοβείας καὶ κριτῇ Βλαδημοιρείας τῷ μεγαλοπρεπεστάτῳ Κνέζῃ Βασιλείῳ, καὶ τοῖς λοιποῖς ὀρθοδοξοτάτοις καὶ ὑπερφυέσιν ἄρχουσι καὶ δεσπόταις πάσης μικρᾶς Ῥωσίας, τοῖς τε εὐλαβεστάτοις τῶν Ἱερέων καὶ παντὶ τῷ φιλοχρίστῳ λαῷ τῶν ὀρθοδόξων τῷ κατὰ πᾶσαν ταύτην τὴν ἀρχὴν εὑρισκομένων, υἱοῖς ἐν κυρίῳ ποθεινοτάτοις, χαίρειν ἔλεος καὶ κατ' ἐχθρῶν νίκην καὶ τρόπαια παρὰ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΤΟῦτο ἦν ὅπερ ἔλεγεν ὁ Σωτὴρ ἡμῶν (ἀδελφοὶ) προαναφωνῶν τὰς τῶν μελλόντων καταλήψεσθαι τὴν οἰκουμένην δεινῶν τρικυμίας, ἀκμαζούσης τῆς κατὰ τὸν ἀντίχριστον τυραννίδος. Ἔλεγεν οὖν ὅτι Καὶ οἱ ἀστέρες ἀπὸ τοῦ οὐρανοῦ πεσοῦνται· οὐρανὸς δέ ἐστιν ἡ τοῦ Χριστοῦ Ἐκκλησία τῶν ἐπιγείων ὑπεραρθεῖσα, οὓς ἐκάλυψεν (κατὰ τὸν θεσπέσιον Ἀββακοὺμ) ἡ τοῦ Σωτῆρος δόξα, τὴν Ἐκκλησίαν πᾶσαν παντοίαις κατακοσμήσασα χάρισι, καὶ θεῖσα ἐν τουτωῒ τῷ τοῦ οὐρανοῦ στερεώματι τινὰς δίκην ἀστέρων (κατὰ τὸν Ἀπόστολον) λάμποντας, καὶ ἐπέχοντας λόγον ζωῆς· ἐκ τούτου τοίνυν τοῦ οὐρανοῦ ἴδομέν τε πεσόντας ἀστέρας, καὶ δὴ βλέπομεν πίπτοντας τινάς, οἳ τρόπον ἀστέρων ἔλαμπον· καὶ τυχὸν τίς ἐστιν ἀστὴρ μέγας ὑπαλλάξας καὶ τοὔνομα καὶ τὴν ἀξίαν ὁ πρότερον μὲν αὐτὸς ἐκπεσὼν, γενόμενος δὲ τοῖς πίπτουσιν τοῦ πίπτειν παραίτιος· τοσούτῳ ἀξιοπιστοτέρας τὰς ἐκπτώσεις καθηγούμενος τοῖς λοιποῖς, ὅσῳ λαμπρότερον τῶν λοιπῶν ὅτε ἀνέτελλε φαεινοτέραις ἀκτῖσι καταλάμπων τὰς τῶν ὁμοχόρων ἀστέρων χορείας· νῦν ἐρριμμένος αὐτὸς εἰς γῆν ἄνωθεν (καὶ γὰρ εἰθισμένος τὸν θρόνον ἔχειν ἐπὶ νεφελῶν (τοῦτο δὴ τὸ τῆς τροπῆς αἴτιον,) καὶ εἶναι ὅμοιος τῷ ὑψίστῳ) γίνεται τοῖς ἀπωλείας ἡγεμών· ἓν οὖν τῶν δεινῶν κοὐ τὸ τυχὸν τῆς τοῦ Ἀντιχρίστου ἀπο-

Ματθ. κδ.

Αββακ. γ.

σημείας τὸ πλῆθος τοὺς ἀστέρας οὐρανόθεν· ὃ καὶ βλέπομεν γινόμενον. Ἀκούομεν γὰρ σὺν ἀ-
θυμίᾳ πάνυ πολλῇ, ὅτι τῶν παρ' ὑμῖν ἀρχιερατευσάντων τινὲς, καταλιπόντες (φεῦ) τὴν
ἀποστολικὴν διδασκαλίαν, ἐν ᾗ ἐβάπτισάν τε καὶ ἐβαπτίσθησαν· ἣν ἐδιδάχθησαν καὶ ἐδίδαξαν·
ἣν παρέλαβον καὶ μέχρι τινὸς παρέδωκαν, καταφρονήσαντες καὶ τῆς τοῦ Σωτῆρος διαγωγῆς,
στενῆς οὔσης καὶ τεθλιμμένης, ἀλλ' ἀπαγούσης εἰς ζωὴν τὴν αἰώνιον, ἀπηυτομόλησαν εἰς
τὴν πλατεῖάν τε καὶ εὐρύχωρον· ὑμᾶς δὲ τοὺς παρὰ Θεοῦ λαχόντας τὴν ἀρχὴν καὶ ἡγεῖσθαι
τῶν πολλῶν σὺν τῷ πιστῷ τῶν ὀρθοδόξων λαῷ, διαμεῖναι ἐν τηλικούτῳ σάλῳ ἀσαλεύτους·
Ματθ. κε. Εὖ δοῦλοι ἀγαθοὶ (οἷς ἐρεῖ ἐρχόμενος ὁ οἰκοδεσπότης) δεῦτε εἰσέλθετε εἰς τὴν χαρὰν
τοῦ Κυρίου ὑμῶν· τίνων οὐκ ἐστὲ ἐπαίνων ἄξιοι; τίνων οὐ στεφάνων; τίνων οὐ γερῶν; ὄντως τοῦ
πνεύματος τοῦ ἁγίου ἐστὲ φυτὰ, οὐ κάλαμοι ὑπὸ ἀνέμων σαλευόμενοι· οἰκοδομὴ ἐστὲ καὶ
Ἐφεσ. β. γεώργιον Χριστοῦ (κατὰ Παῦλον εἰπεῖν) Οἰκοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ
Κορινθ. α. προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Χριστοῦ· Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι πα-
κεφ. γ. ρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς ὁ Χριστός· αὕτη ἐστὶν ἡ πέτρα Παῦλος βοᾷ· ἐν ταύτῃ τῇ
πέτρᾳ τῇ ἀληθινῇ οἰκίᾳ ἐστὲ ὑμεῖς εὐσεβέστατοι ἀδελφοὶ ᾠκοδομηθέντες· καὶ διὰ τοῦτο, οὔτε
πνοαὶ βιαίων ἀνέμων, οὔτε συρρεύσαντες ποταμοὶ, παρασαλεῦσαι δεδύνηνται. Οἱ δὲ ἐξ
Ἰωαν. ἐπ. α. κεφ. β. ἡμῶν ἐξεληλυθότες, οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ ἦσαν ἐξ ἡμῶν (κατὰ τὸν θεολόγον Ἰωάν-
νην εἰπεῖν) μεμενήκεισαν ἂν μεθ' ἡμῶν· ἀλλ' ἐξῆλθον ἐξ ἡμῶν ἀγαπήσαντες (καθὼς
Ἰωαν. ιβ. ἐκείνους ἀναγράφει τὸ ἱερὸν εὐαγγέλιον) τὴν δόξαν τῶν ἀνθρώπων, ἢ τὴν δόξαν τοῦ
Πρὸς Τι- Θεοῦ· ἢ καθὼς φησὶν ὁ Ἀπόστολος, Ἀγαπήσαντες τὸν νῦν αἰῶνα, καὶ προτιμήσαντες τὴν
μοθ. β. κεφ. δ. παροῦσαν τῆς σαρκὸς εὐπάθειαν, τῆς μελλούσης δόξης τοῦ πνεύματος· φεῦ τοῦ κέρδους, ζη-
μιοῦντος τὴν ψυχήν· φεῦ τῆς φιλοζωΐας, προξενούσης θάνατον· φεῦ τοῦ σαρκικοῦ φρο-
νήματος, ἀντιπολεμοῦντος τῷ πνεύματι, καὶ τεκταινομένου τὴν ἔχθραν πρὸς Θεόν·
φεῦ τοῖς κατὰ σάρκα ζῆν προῃρημένοις, ὅτι Θεῷ ἀρέσαι οὐ δύνανται. Ἀλλ' ὑμῶν μὲν εὐ-
σεβέστατε Κύριε Βασιλεῦ, καὶ ὀρθοδοξώτατοι ἄρχοντες, καὶ φιλόθεοι ἱερεῖς σὺν τῷ χριστω-
Ματθ. ε. νύμῳ πληρώματι, τὰ γέρα, οἱ στέφανοι, καὶ (καθὼς λέγει ὁ Κύριος) ὁ μισθὸς πολὺς ἐν τῷ
οὐρανῷ· διότι τὴν ἀληθινὴν πίστιν ἐνστερνισάμενοι, καὶ τὴν εἰς Θεὸν εἰλικρινῆ καὶ σωτήριον
ἀγάπην τῶν πατρῴων δογμάτων καὶ ἰχνῶν, οὐδ' ὅσον ἀνέχεσθε παρατραπῆναι, μηδὲ πα-
ρασπαποίητε Χριστῷ βασιλεῖ· μὴ τὴν πτωχείαν αἰσχυνόμενοι τοῦ Χριστοῦ· ἀλλὰ τὸν σταυρὸν
αὐτοῦ φέροντες, καὶ Χριστῷ συμπάσχοντες κατὰ τὸν νῦν αἰῶνα, ἵνα κατὰ τὸν μέλλοντα συμ-
βασιλεύσοιτέ γε μετὰ πολλῶν τῶν ὄντων μὲν ἐσχάτων διὰ τὸ δῆθεν τῆς ἀξίας εἶναι τῆς κο-
σμικῆς· ἐσομένων δὲ πρώτων τῇ τοῦ Θεοῦ δόξῃ τε καὶ λαμπρότητι· πολλῶν τῶν λεγομένων
πρώτων νῦν διὰ τοὺς ὑψηλοὺς τῆς ἀρχιερωσύνης βαθμοὺς, ἐσχάτων ἐσομένων διὰ τὴν στέ-
ρησιν τῆς δόξης· ἀλλὰ ταῦτα μὲν ὑμῖν ἐλπίζομέν τι καὶ εὐχόμεθα ὡς τοῖς ὀρθοδόξου πίστεως
ὑπερμάχοις τε καὶ ὑπερασπισταῖς παρὰ Θεοῦ προβεβλημένοις. Αὐτοὺς δὲ τοὺς ἀποστατήσαντας
Ψαλ. ριη. ἀπὸ τῶν δικαιωμάτων τοῦ Θεοῦ, ὥς φησι Δαβὶδ ὁ Θεοπάτωρ· αὐτοὺς ἂν ἐροίμην τοὺς ἀπο-
στάτας· αὐθ' ὅτε ὦ 'γαθοὶ, τί τε παθόντες τὴν τοῦ Χριστοῦ καταλιπόντες μάνδραν, τὴν Ἀνα-
τολικὴν φημὶ Ἐκκλησίαν, ἐν ᾗ ἀνέτειλέ τε καὶ ἐν ᾗ ἀναπαύεται ὁ ἥλιος τῆς δικαιοσύ-
νης Χριστός· καὶ ὅθεν τὴν οἰκουμένην ἐφώτισεν, αὐθ' ὅτε τοίνυν ταύτην τὴν τοῦ καλοῦ
ποιμένος αὐλὴν καταλιπόντες, εἰς τὴν τοῦ μόνου λέγεσθαι βουλομένου πάπα συμμορίαν
εἰσεπηδήσατε; νοσφισάμενος γὰρ ἑαυτῷ ὁ Ῥώμης ἀρχιερεὺς ἀρχήν τινα τυραννικὴν, καὶ
[illegible] [illegible], ἰδιοποιησάμενος τὸ κοινόν· πάπας βουλόμενος λέγεσθαι μόνος, καὶ

μόνος

μόνος ἐστὶ τῆς Ἐκκλησίας ἀρχὴ καὶ κεφαλή· τίνα σημεῖα, τίνα τέρατα ἰδόντες, οὐ γ' ὅλως καὶ τοιαῦτα, ἅπερ (οἷα καὶ ψευδοχρίστοις καὶ ψευδοπροφήταις ὁ ἀληθινὸς Χριστὸς μέλλειν πράττειν προείρηκεν, ὥστε πλανηθῆναι εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς) ἢ ἰδόντας εὔλογον ἦν ἀκολουθεῖν, ἀποστατοῦντες τῆς παρὰ τοῦ παραδόντος διδασκαλίας; τί τοίνυν ἰδόντες εἰς αὐτὸν ἀπὸ τῶν ἁγίων πατέρων, ἀπὸ τῶν ἀποστόλων, ἀπ' αὐτοῦ τοῦ Σωτῆρος, εἰς αὐτὸν τὸν πάπαν ἀπεσκιρτήσατε; ὅτι μεγάλα τινὰ λαλεῖ περὶ ἑαυτοῦ, καὶ ἑαυτῷ ἀξίαν τινὰ καὶ ἐξουσίαν χαρίζει, δι' ἧς καὶ τὴν τοῦ υἱοῦ τοῦ Θεοῦ ἀρχήν τε καὶ αὐθεντίαν καταβάλλει; ἀλλὰ τοῦτο θείῳ τινὶ ἴδιον ἔσεσθαι προεῖδε Δανιὴλ ὁ τῶν ἐπιθυμιῶν ἀνήρ· ᾧ στόμα ἦν Δανιὴλ ζ. μέγα λαλοῦν, καὶ χριστιανῶν ἀκοαῖς ἀποτρόπαιον· τίς γὰρ ἂν τῶν εὐσεβῶν προαιρουμένων ἀνάσχοιτο τὴν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀρχὴν παρασαλευθῆναι τὸ παράπαν, μὴ ὅτι γε λυμαίνεσθαί τε καὶ ἀνατρέπεσθαι; ἣν παρὰ τοῦ πατρὸς αὐτὸς λαβών, ἐπ' ὤμων ἦρε περιποιησάμενος τῷ ἰδίῳ αἵματι; ἢ οὐχὶ τὸ ἑαυτὸν ἀντὶ Χριστοῦ καθολικὴν κεφαλὴν τῆς καθολικῆς Ἐκκλησίας ἀναστηλῶσαι, αὐτὸν ἐστὶ τὸν Χριστὸν κατασείειν τῆς ἀρχῆς; ἢ οὐχὶ ὁ Ῥώμης τῆς πρεσβυτέρας πάπας, καθολικὴν κεφαλὴν τῆς καθολικῆς Ἐκκλησίας ἑαυτὸν πόρρωθεν καὶ κατὰ μικρὸν ἀρξάμενος, νῦν εἰς τέλος κατέστησεν; εἰ γὰρ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας, κεφαλήν, ἀρχήν, ἢ ὅ,τι ἂν εἴποις, ἑαυτὸν ἔλεγεν, εἶχεν ἂν λόγον ὁ λόγος, ἑκάστης ἐπαρχίας ἴδιον κεκτημένης ἀρχηγόν· περὶ οὗ φησὶν ὁ κανὼν τῶν ἱερῶν ἀποστόλων, Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἑαυτῶν πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλήν, καὶ μηδέν τι πράττειν ἄνευ τῆς ἐκείνου γνώμης. “Ἀποστόλων “κανών. “λδ. ὃ καὶ οἱ ἐν Ἀντιοχείᾳ διωρίσαντο ὡς ἀρχαῖον κανόνα τῶν πατέρων· καθολικὴν δὲ κεφαλὴν καθολικῆς Ἐκκλησίας, ἡ εὐαγγελικὴ ἀλήθεια, μόνον οἶδε, μόνον κηρύττει τὸν Χριστόν· καὶ τοῦτο διδάσκει Παῦλος μετ' Ἐφεσίων ἡμᾶς· Αὐτὸν (φάσκων) αὐτὸν (τὸν Χριστὸν) ἔδωκεν (ὁ πατὴρ) ὑπὲρ πάντα κεφαλὴν τῇ Ἐκκλησίᾳ, ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ· “Ἐφεσ. α. φανερὸν δὲ ὅτι τὸ σῶμα τοῦτο τὸ καθολικόν, καὶ ἀκέφαλον, τέρας ἂν εἴη· καὶ τέρας οὐδὲν ἧττον εἴη ἄν, ὂν δικέφαλον· διὸ καὶ Χριστὸν ἔχει καθολικὴν κεφαλήν, ἵνα μὴ τέρας εἴη, ὂν ἀκέφαλον· καὶ μόνον Χριστὸν καθολικὴν ἔχει κεφαλήν, ἵνα μὴ τέρας ᾖ, ὂν δικέφαλον. Ἀλλὰ Πέτρῳ (φασὶν) εἶπεν ὁ Σωτήρ· Σὺ κληθήσῃ Κηφᾶς· ἀλλὰ Κηφᾶς (καθὼς αὐτὸς ἡρμήνευσεν ὁ “Ματθ. ις. εὐαγγελιστής) Πέτρον οὐ κεφαλὴν σημαίνει· Ἀλλὰ σὺ εἶ Πέτρος (ἔφη ὁ Σωτὴρ) καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· καὶ τί τοῦτο; μὴ πέτραν εἶπεν; σὺ εἶ Πέτρος, οὐ πέτρα· καθὼς ἐσημειώσατο καὶ ὁ θεσπέσιος Αὐγουστῖνος· Σὺ εἶ (φησὶ) Πέ- “Αὐγουστ. τρος ἐκ τῆς πέτρας ἣν ὡμολόγησας, Πέτρος καὶ αὐτὸς παρωνομασθείς, ὡς ἐκ πίστεως “ πιστός· ἐγὼ δὲ ἐπὶ ταύτῃ τῇ πέτρᾳ ἣν ὡμολόγησας, ἐξ ἧς καὶ αὐτὸς Πέτρος κληθήσῃ, ἐπὶ “ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· Ἡ δὲ πέτρα ἦν ὁ Χριστὸς Παύλου φω- “ νή· οὐ γὰρ ἐπὶ τῷ Πέτρῳ φησὶν Αὐγουστῖνος, ἀλλ' ἐπὶ τῷ Χριστῷ ἡ Ἐκκλησία οἰκοδομεῖται. “ Οὐ γὰρ ἐπὶ σοὶ τῷ Πέτρῳ ἀλλ' ἐπ' ἐμοὶ τῷ Χριστῷ, λέγει Αὐγουστῖνος· “Ὁ αὐτός. Θεμέλιον γὰρ ἄλλον (Παῦλος βοᾷ) θεμέλιον ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον ὅς ἐστιν Ἰησοῦς Χριστός. “Κορινθ. α “κεφ. γ. “ Ἀλλὰ φασὶν οἱ πατέρες κατὰ καιροὺς τὸν Ῥώμης μέγαν ἐπέγνωσαν· καὶ πρὸς αὐτὸν ἐν ἀνάγκαις προσέδραμον· ἀλλὰ τί μοι τὰ τῆς ἀγάπης καὶ ἀδελφικῆς συμπνοίας τεκμήρια, εἰς οἰκοδομὴν ἔρχεται τηλικαύτης ἀρχῆς, εἰ ἀδελφοὶ προσέτρεχον παρ' ἀδελφοὺς ἐν ἀνάγκαις (κατὰ τὴν θείαν γραφὴν) χρησίμους εἶναι ὀφείλοντας; Ἀλλὰ καὶ προσρήσεσιν ὅτι σεμνοτάταις ἀνεφήμουν ὡς μέγαν· ἐγὼ δὲ δίδωμι καὶ ὡς πρῶτον· λέ-

καὶ γὰρ Αὐγουστῖνος περὶ τοῦ μακαρίου Πέτρου, ὅτι πρῶτος ἦν ἐν τῇ τάξει τῶν ἀποστόλων· εἰ τοίνυν τῆς τάξεως ἦν τῶν ἀποστόλων (οὐδεὶς ἀντερεῖ) εἰ καὶ πρῶτος ἦν, ἀλλ᾽ ὁμοταγὴς ἦν, καὶ τῶν ἀποστόλων εἷς· εἰ οὖν καὶ πρῶτον εἶναι δῶμεν, πάντως ἀδελφῶν· οὐ πατὴρ γὰρ ἦν μόνος τῶν λοιπῶν ἁπάντων ἀρχιερέων· οὐκ αὐτὸς ἀρχός, καὶ διδάσκαλος καθολικὸς μόνος αὐτὸς τῆς Ἐκκλησίας ἁπάσης· ἵνα δὲ καὶ δῶμεν ἀπόστολον εἶναι τὸν Ῥώμης (δέον οὐδὲ οἱ περὶ τὸν Ῥώμης εἴποιεν ἂν εὐχερῶς) ἵνα τοίνυν δῶμεν, ἀπόστολον εἶναι, οὐκ ἐπίσκοπον Ῥώμης, τὸν Ῥώμης πάπαν, Πέτρου τε διάδοχον· Πέτρος αὐτὸς ὁ μακάριος, ἀπόστολος ἦν, οὐ μόνος μέντοι· καὶ γὰρ καὶ οἱ λοιποί· πρὸς πάντας γὰρ εἶπεν ὁ Σωτὴρ

Ματθ. ι. “ Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· καὶ πάλιν· Καθὼς ἀπέσταλκέ με
Ἰωάν. κ. “ ὁ πατὴρ κἀγὼ πέμπω ὑμᾶς· Σὺ ἀκολούθει μοι ἔφη τῷ Πέτρῳ· Ἀλλὰ δεῦτε ὀπίσω
Ματθ. δ. “ μου (καὶ ἑτέροις εἶπε) καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων· Καὶ ὑμεῖς (φασὶν) οἱ ἀκο-
Ματθ. ιθ. “ λουθήσαντές σοι· καὶ ὑμεῖς οἱ ἀκολουθήσαντές μοι ἐν τῇ παλιγγενεσίᾳ, καὶ τὰ λοιπά· Δεσ-
Ματθ. ις. Ἰωάν. κ. “ μεῖν τε καὶ λύειν ἔλαβε τὰς κλεῖς· Ἀλλὰ λάβετε πνεῦμα ἅγιον (πᾶσιν εἶπεν,) ἄν τινων
Ἰωάν. κα. “ ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται· Ἀλλὰ ποίμαινε
Ματθ. κς. τὰ πρόβατά μου τρὶς τῷ Πέτρῳ μόνῳ λέγει· ἀλλὰ καὶ τρὶς μόνος ὁ Πέτρος ἠρνήσατο· καὶ εἰκὸς ἦν τῷ τριπλῷ τῆς ἐρωτήσεως, τὸ τρίτον θεραπευθῆναι τῆς ἀρνήσεως· ἐπιφερομένης καὶ τῆς ἐπικυρώσεως τῶν ἀποστολικῶν ἰδιωμάτων, τῆς ἀποστολικῆς ἀξίας καὶ ἐξουσίας· τοῦτο δὲ ἡ ποιμαντικὴ ἐστὶ δύναμις, καὶ χάρις· ἑκάστῃ τῶν ἐρωτήσεων, ἀποκαθιστάσης τε τὸν μακάριον Πέτρον ᾧ ἠρνήσατο Χριστῷ, καὶ τῇ Ἐκκλησίᾳ οἷς ἐφάνη παρατραπεὶς διὰ τῆς ἀρνήσεως· Τέλος, τα τῶν πατέρων δόγματα καὶ αἱ τιμαὶ προσρήσεις πρὸς τὸν Ῥώμης ἀρχιερέα, τιμῆς ἦν δηλωτικά, ἀδελφῶν εἰδότων φυλάττειν τὰ παραγγέλματα τοῦ Σωτῆρος, ἐλάττους ἑαυτοὺς τῶν λοιπῶν τιθεμένων· “ καὶ (κατὰ τὸν Ἀπόστολον) τῇ “ τιμῇ ἀλλήλους ἡγουμένους ὑπερέχοντας· οὐ δόγματα δὲ οὐδὲ ψῆφοι τυραννίδα χειροτονοῦσαι, οἵαν νῦν ὁρῶμεν συστᾶσαν κατὰ τῆς Ἐκκλησίας Χριστοῦ, ἀνατρέπουσαν καὶ ἃ αὐτότατος ἐνομοθέτησεν ὁ Σωτήρ· Καὶ τότε μὲν τυχὸν ἐπιχρησίμως τῆς Ἐκκλησίας καὶ οἱ μακαριώτατοι Ῥώμης ἀρχιερεῖς, καὶ οἱ πρὸς τοὺς μακαριωτάτους ἐκείνους ἐπιστέλλοντες, τὸν θρόνον τῆς Ἐκκλησίας ἐκείνης ὑπερσεμνύνων, προβαλλόμενοι ἐν καιρῷ τὰ τοῦ μακαρίου Πέτρου, καὶ δὴ καὶ Παύλου, ὡς τοῦ θρόνου ἐκείνου καὶ μόνου περιπλουτούντων προτερήματα καὶ αὐχήματα· ὥστε κἀκ τούτων ἐκ περιουσίας ἔχοιεν ἐπιστομίζειν τοὺς αὐτῇ περιφερομένους τῇ Ἐκκλησίᾳ (ἣν γὰρ ἀκμὴν ἡ πρεσβυτέρα Ῥώμη τηλικούτου χειμῶνος ἀπείραστος) καὶ γὰρ καὶ

Γαλάτ. β. “ Παῦλος καὶ τοῦτον τὸν τρόπον τὰ καθ᾽ αὐτὸν συνιστᾶν οὐ παρῃτήσατο· Ἐκ τῶν δοκούντων
“ (Γαλάταις φησὶ) στύλων εἶναι Ἰακώβου καὶ Κηφᾶ καὶ Ἰωάννου· νυνὶ δὲ καὶ μέτρου παντός, καὶ ἐπὶ καταστροφῇ τῆς Ἐκκλησίας, καὶ αὐτῶν τῶν εὐαγγελικῶν παραδόσεων, ἃς αὐτότατος παρέδωκεν ὁ Σωτήρ, ἡ ἀρχὴ αὕτη ἐκτετύφωται· Ἢ οὐχὶ τυραννίς ἐστι (καὶ μηδεὶς μοι ἀληθεύοντι δυσχεραινέτω· τοὺς γὰρ ἐλέγχους μόνων ἂν εἴη ἀσεβῶν κατὰ Σολομῶντα μισεῖν· φευκτέον τε οὐ τοὺς ἐλέγχους, ἀλλὰ τὸ ἐλέγχων ἄξια πράττειν τοῖς εὖ φρονοῦσιν) ἀλλ᾽ οὐχὶ τυραννίς ἐστι, τὴν Ἐκκλησίαν πᾶσαν ὑποτάττοντας τῇ οἰκουμενικῇ συνόδῳ τούτῳ τῷ τῆς ἀληθείας ὑπερτέρῳ τὴν τυραννικὴν τοῦ Ῥώμης πάπα συνιστᾶν ἀρχήν, αὐτὰς τὰς οἰκουμενικὰς συνόδους ὑποστρωννύντας αὐτῷ τῷ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης; οὐ τοῦτο τῆς Ἐκκλησίας ἐστὶν ἐπανάστασις καὶ ἀνδραποδισμός; πρὸς δὴ τοῦτο τί ἂν τις εἴποι δικαιότερον, ἢ ὅ φασιν οἱ ἐν Καρθαγένῃ πατέρες ἅγιοι πρὸς τὸν Ῥώμης ἀρχιερέα (ἱερέα ἔφα-

Σύνοδος. ε.

οὓς ἐκεῖνοι) ἐπιστέλλοντες; Τέσσαρα γὰρ (φασὶν) ἐνετάλησαν (τοῖς Ῥωμαίων πρέσβεσιν) ἅμα ἡμῖν πρακτέα· ἓν περὶ ἐγκλήτων ἐπισκόπων πρὸς τὸν τῆς Ῥωμαίων Ἐκκλησίας ἱερέα, καὶ τὰ λοιπὰ· οἷς παρακαλοῦντες ἐπιφέρουσι· φυλαχθῶσι δὲ περὶ ἡμᾶς, ἅτινα καὶ μὴ λαλούντων ὑμῶν, ὀφείλουσι φυλαχθῆναι ἀδελφικῇ ἀγάπῃ (οὔπω γὰρ ἐκράτει ἡ τυραννὶς) ἅπερ κατὰ τὴν σοφίαν καὶ δικαιοσύνην, ἣν σοι ὁ ὕψιστος ἐδωρήσατο, καὶ αὐτὸς ἔτι μὴν συνορᾷς ὀφείλειν φυλαχθῆναι, ἐὰν τυχὸν ἀλλοίως ἔχωσιν οἱ κανόνες τῆς ἐν Νικαίᾳ Συνόδου (ἀπὸ γὰρ τούτων τὸ κράτος ἔχειν διϊσχυρίζεται τηνικαῦτα ὁ Ῥώμης ἀρχιερεύς, ὃ νῦν εἰς θείας τινὰς ἀναφέρουσιν ἀποκαλύψεις) Ἡμεῖς γὰρ (φασὶν οἱ πατέρες ἐκεῖνοι) ἡμεῖς πλείστοις ἐντυγχάνοντες βιβλίοις, οὐδαμοῦ ἀνέγνωμεν εἰς τὴν ἐν Νικαίᾳ Σύνοδον ἐν ῥωμαϊκοῖς βιβλίοις (εἴδετε τίνες εἰσὶν οἱ διαφθείροντες τοὺς βίβλους, ὡς καὶ νῦν ποιοῦσιν ἐν ταῖς τῶν διδασκάλων βίβλοις, καὶ προσγράφοντες τοῖς τῶν βίβλων προθύροις τὰς φθορὰς, εἰ καὶ ἐπὶ σεμνοτέρῳ ὀνόματι, τῷ, δηλονότι ἐπιδιορθώσεως· λέγουσι γὰρ τὰ τοῦ (φέρε εἰπεῖν) Αὐγουστίνου ἅπαντα (ὡς ἐν τοῖς ἐν Ἑνετίησι τετυπωμένοις ἐγγέγραπται) διορθωθέντα, ἀφαιρεθέντων τῶν δυναμένων αἵρεσίν τινα ἐμποιεῖν, ἢ ἄλλως πῶς τὰς τῶν πιστῶν διανοίας λυμαίνεσθαι) Ἡμεῖς οὖν φασὶν οἱ ἐν Καρχηδόνι πατέρες οὐδαμοῦ ἀνέγνωμεν εἰς τὴν ἐν Νικαίᾳ Σύνοδον ἐν ῥωμαϊκοῖς βιβλίοις, ὃν τρόπον ἐν τῷ προλεχθέντι κομμονιτωρίῳ αὐτόθεν ἀπεστάλησαν· ὅμως ἐπειδὴ ἐνταῦθα εἰς οὐδὲν βιβλίον γραικὸν ταῦτα εὑρεῖν ἠδυνήθημεν ἐκ τῶν Ἀνατολικῶν Ἐκκλησιῶν (οἴδατε ποῖ περιτρέχουσιν οἱ πατέρες, καὶ τίσιν ἀντιλέγουσιν οἱ περὶ τῆς [illegible] πίστεως τῇ Ἀνατολικῇ Ἐκκλησίᾳ ἀμφισβητοῦντες) ἔνθα λέγονται τὰ αὐτὰ ψηφίσματα δύνασθαι τὰ αὐθεντικὰ ἔτι μὴν εὑρεθῆναι (καὶ δὴ καὶ εὑρέθησαν, καὶ ἐστάλησαν, καὶ ἐσέρχθησαν) ἡμῖν προσενεχθῆναι μᾶλλον ποθοῦμεν· διὸ καὶ τὴν σὴν σεβασμιότητα δυσωποῦμεν ἵνα γράψαι καὶ αὐτὸς ἔτι μὴν καταξιώσῃς πρὸς τοὺς ἐκείνων τῶν μερῶν ἱερεῖς· τουτέστι τῆς ἐν Ἀντιοχείᾳ Ἐκκλησίας, καὶ τῆς Ἀλεξανδρείας, καὶ τῆς ἐν Κωνσταντινουπόλεως· πατριαρχικαὶ γὰρ αὗται· καὶ τὰ ἑξῆς· μετὰ δὲ τὸ λαβεῖν ἃ ᾐτοῦντο, εἰς Ῥώμην ἀποστέλλουσι πρὸς Κελεστῖνον σὺν προσρήσεσι σεμνοπρεπεστάταις· Ἱκετεύομεν ἵνα τοῦ λοιποῦ πρὸς τὰς ὑμετέρας ἀκοὰς τοὺς ἐντεῦθεν παραγινομένους εὐχερῶς μὴ προσδέχεσθαι· μηδὲ τοὺς παρ' ἡμῶν ἀκοινωνήτους κοινωνίαν τοῦ λοιποῦ θελήσετε δέξασθαι· ἐπειδὴ τοῦτο καὶ ἐν τῇ ἐν Νικαίᾳ Συνόδῳ ὁρισθὲν εὐχερῶς εὕροι ἡ σὴ σεβασμιότης. εἰ γὰρ καὶ περὶ κατωτέρων κληρικῶν, καὶ περὶ λαϊκῶν φαίνεται ἐκεῖ παραφυλάττεσθαι, πόσῳ μᾶλλον τοῦτο περὶ ἐπισκόπων βούλεται φυλαχθῆναι; καὶ αὖθις· Μάλιστα ὅτι ἑνὶ ἑκάστῳ συγκεχώρηται ἐὰν περὶ τῆς δίκης τῶν διαγνωστῶν προσίσταται αὐτῷ πρὸς τὰς Συνόδους τῆς ἰδίας ἐπαρχίας· ἢ ἔτι μὴν εἰς οἰκουμενικὴν Σύνοδον ἐκκαλέσασθαι (τοῦτο γὰρ τὸ ἀνωτάτω κράτος τῆς ἐκκλησιαστικῆς ἐξουσίας κατὰ τοὺς τῶν ἁγίων πατέρων ὅρους καὶ θεσμούς. εἰ καὶ ὁ Ῥώμης ἑαυτῷ πάπας μηχαναῖς ὑποτάττειν ἐπείγεται· Εἰ μὴ ἄρα (τοῦτο οἱ πατέρες ἐπιφέρουσιν) εἰ μὴ ἄρα τις ἐστὶν ὅστις πιστεύσει ἑνὶ ᾡτινιδήποτε (σημειωτέον ὡς δριμύτατα καθάπτονται τῶν τοῦ πάπα Ῥώμης ἐπιχειρημάτων) ἑνὶ ᾡτινιδήποτε δύνασθαι τὸν Θεὸν ἐμπνεῦσαι τὴν δικαιοσύνην, τοῖς δὲ ἀναριθμήτοις εἰς Σύνοδον συνηθροισμένοις ἱερεῦσιν ἀρνεῖσθαι, καθὼς ἀνερυθριάστως ἀπεναντίας τουτωνὶ τῶν ἁγίων πατέρων ἐνθύμως κηρύττουσιν οἱ τοῦ Ῥώμης πάπα· ἐπιφέρουσι δὲ οἱ θεσπέσιοι πατέρες ἐκεῖνοι· Περὶ γὰρ τοῦ τινὰς ὡσανεὶ ἐκ τοῦ πλευροῦ τῆς σῆς ἁγιωσύνης πέμπεσθαι, οὐδεμιᾷ τῶν πατέρων Συνόδῳ ὁρισθὲν εὑρίσκομεν· ἐπει-

Συνοδ. ε.

Συνοδ. ε.

Ἡ αὐτή.

δὴ

δὴ ὅπερ πάλαι διὰ τοῦ αὐτοῦ συνεπισκόπου ἡμῶν Φαυστίνου ὡσανεὶ ἐκ μέρους τῆς ἐν Νικαίᾳ συνόδου αὐτόθεν ἀπέσταλτο ἐν τοῖς ἀληθεστέροις ἀπογραφαῖς τῆς ἐν Νικαίᾳ, ἅς περ ἐδεξάμεθα ὑπὸ τοῦ ἁγιωτάτου Κυρίλλου, τοῦ τῶν Ἀλεξανδρέων Ἐκκλησίας συνεπισκόπου ἡμῶν, καὶ παρὰ τοῦ προσκυνητοῦ Ἀττικοῦ τοῦ ἐν Κωνσταντινουπόλει ἐπισκόπου πεμφθείσας ἐκ τῶν αὐθεντικῶν· αἵτινες ἔτι μὴν περὶ τούτου διὰ Ἰννοκεντίου τοῦ πρεσβυτέρου, καὶ Μαρκέλλου τοῦ ὑποδιακόνου, δι' ὧν πρὸς ἡμᾶς παρ' ἐκείνων ἀπεστάλησαν τῷ τῆς προσκυνητῆς μνήμης Βονιφατίῳ τῷ ἐπισκόπῳ τῷ προηγουμένῳ ὑμᾶς παρ' ἡμῶν ἐξεπέμφθησαν, τοιοῦτόν τι ποτὲ οὐκ ἐδυνήθημεν εὑρεῖν (ὅθεν καὶ ἐπιφέρουσι δριμύτερον καθαπτόμενοι τοῦ Ῥώμης) Ἐκβιαστὰς τοίνυν κληρικοὺς ἡμῶν τινῶν αἰτούντων, μὴ θέλετε ἀποστέλλειν μήτε παραχωρεῖν, ἵνα τὸν καπνώδη τῦφον τοῦ κόσμου (ἰδέ μοι τοῦ λόγου τὴν δύναμιν, ὡς τῷ πάπᾳ ἐπιτιμᾷ σύνοδος οὐδὲ οἰκουμενική) μὴ παραχωρεῖν (φασὶν) ἵνα τὸν καπνώδη τῦφον τοῦ κόσμου δόξωμεν εἰσάγειν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ· ἥτις τὸ φῶς τῆς ἁπλότητος καὶ τῆς ταπεινοφροσύνης τὴν ἡμετέραν τοῖς τὸν Θεὸν ἰδεῖν ἐπιθυμοῦσι προφέρει· Ταῦτα δὲ καὶ πλατύτερον ἐξεθέμεθα, οὐχ ὡς ἡμετέροις βουληθέντες ῥήμασιν οἷς οἱ πατέρες πρὸς τὴν τότε μὲν ἀρχομένην ἠρέμα πως, νῦν δὲ εἰς ἀλλόκοτόν τινα κορυφουμένην τοῦ Ῥώμης ἀρχὴν ἀποκριθῆναι· ἀλλόκοτον δὲ ἔφην, καὶ τερατώδη δὲ φαίην ἂν καὶ βλάσφημον· καὶ αὐτὴν γὰρ τὴν τοῦ Σωτῆρος αὐθεντίαν (ὡς ἔφθην εἰπὼν) ὁ Ῥώμης ἀνατρέπει· οὐ μόνον γὰρ τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν ταπεινοῦν καὶ ὑποτάττειν τοὺς λοιποὺς ἀδελφούς, ἀλλὰ καὶ αὐτὸν τὸν πάντων Κύριον καὶ δεσπότην τὸν μόνον δυνάστην, ἀνατρέπων αὐτοῦ τὴν αὐθεντίαν· τούτου δὲ πολλῶν ὄντων τῶν δυναμένων μαρτυρεῖν, ἡμῖν ἓν τοῦτο ἀρκέσει.

Περὶ τῶν ἀζύμων.

Τοῦ γὰρ Σωτῆρος ἡμῶν παραδεδωκότος τῇ αὐτοῦ Ἐκκλησίᾳ τὰ φρικτὰ μυστήρια τῆς ἁγίας αὐτοῦ σαρκὸς, καὶ τοῦ τιμίου αἵματος τὴν τοῦ κόσμου καθάρσιον θυσίαν ἐν εἴδεσιν ἄρτου καὶ οἴνου, αὐτὸς ὁ Ῥώμης ἀρχιερεὺς (ἵνα τὴν τῶν ἰουδαϊκῶν ἀζύμων σιωπήσω παρείσδυσιν) ἀντὶ τοῦ εὐαγγελικοῦ ἄρτου (εἰσάγει γὰρ καί-

Κορινθ. β. κεφαλ. ε.

περ τοῦ Παύλου ἀντιφθεγγομένου, ὁ Ῥώμης ἀντὶ τῶν καινῶν τὰ παλαιὰ ἃ παρῆλθεν (ἔφη Παῦλος) τῇ χάριτι παραχωρήσαντα) ἵνα τοίνυν τὴν τῶν ἰουδαϊκῶν ἀζύμων σιωπήσω παρείσδυσιν, ἵνα σιωπήσω τὴν περὶ τοῦ ἁγίου πνεύματος διδασκαλίαν αὐτοῦ τοῦ Σωτῆρος, ὃς τηλικαύτης θεολογίας διδάσκαλος, καὶ φάσκων ὅτι ἐκ τοῦ πατρὸς ἐκπορεύεται τὸ πνεῦμα, παρὰ τοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης βεβίασται δεινὴν προσθήκην προστεθέντος ἐν τῷ τῆς Ἐκκλησίας συμβόλῳ, ἵνα μιᾷ πληγῇ, καὶ τὸν Σωτῆρα τρώσῃ τὴν κεφαλὴν τῆς Ἐκκλησίας, καὶ τὴν Ἐκκλησίαν τὸ σῶμα τοῦ Χριστοῦ· ἵνα τοίνυν πάντα σιωπήσω τὸ τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ μυστήριον (τόλμην πάντολμον τολμήσας κεκαινοτόμηκεν, ἀφελὼν χριστιανοῖς, πᾶσι μὲν οὖσιν, ὁλόκληρον τὸ μυστήριον, οὔτε σαρκὸς οὔθ' αἵματος κοινωνίαν παρέχων· ἀνδρωθεῖσι δὲ, τὸ ἥμισυ· ἵνα πάντως τὰ τοῦ Χριστοῦ μέλη, τοὺς τοῦ Χριστοῦ ἀδελφοὺς, ἢ ὅλου, ἢ ἐξ ἡμισείας στερήσῃ τοῦ Χριστοῦ. Ὢ τῆς τόλμης· ὢ τῆς ἱεροσυλίας· ὑστερώτισται τῆς ἑαυτοῦ Ἐκκλησίας ὁ Χριστός· ἀποτέτμηται τοῦ ἰδίου σώματος ἡ κεφαλή. Ἔστι δὲ ταύτης τῆς κακίστης διαιρέσεως ἀρχιτέκτων, ὁ ἀντὶ Χριστοῦ εἶναι βουλόμενος τῆς καθολικῆς Ἐκκλησίας κεφαλή· ὢ τῆς ἀκορέστου τυραννίδος· καταβαλοῦσα, ἢ καταβαλεῖν ἐπιχειρουμένη τὴν Ἐκκλησίαν, ἤδη καὶ Χριστὸν αὐτὸν καταβαλεῖν ἐπεχείρησε· τίνι λόγῳ παραχαράττετε τὴν τοῦ Σωτῆρος παράδοσιν; ὅτι οὕτως ἔδοξεν ἡμῖν τοῖς τοῦ Χριστοῦ οὐκ οἰκείοις· ἔδοξε δὲ εὐλόγως διὰ τὸ, καὶ τό· πᾶς γὰρ ἀδικῶν, εἰς ἀπολογίαν ἑτοιμότατος·

ποιμένατος· ἵνα δὲ ὅλως δῶμεν οἰκουμενικοὺς εἶναι, καὶ μόνους εἶναι οἰκουμενικοὺς Χριστοῦ, πῶς ταύτην αὐτῶν τὴν δόξαν ὑποίσομεν, φερομένην κατὰ τῆς δόξης τοῦ υἱοῦ τοῦ Θεοῦ; οὗ ἀκούειν προσέταξεν ἡμῖν ὁ πατήρ; Αὐτοῦ γὰρ (φησὶν οὐρανόθεν) αὐτοῦ ἀκούετε· Πλὴν τίνες ὑμεῖς οἷς ταῦτα δοκεῖ; ἡμεῖς ἐσμέν, οἷς μόνοις πάντες ὑπήκοοι· ἡμῖν γὰρ μόνοις διδάσκειν, αὐθεντεῖν, νομοθετεῖν, (εἰ δὲ δοκεῖ) καὶ νομοθετεῖν ἐκ θείας (οὐκ οἶδα τίνος) ἀποκαλύψεως πέπρωται· τοῖς δὲ λοιποῖς καὶ τὸν αὐχένα ὑποκλίνειν, καὶ τὸ οὖς ὑποθεῖναι οὕτως ὑπήκοον, ὥστε καὶ συνειδὸν καταφερόντων ἡμῶν τὰς τῶν πέλας ψυχὰς εἰς ᾅδου, μηδενὶ ἐξεῖναι τὸ παράπαν ἀντιλέγειν· καὶ τοῦτο ἐστὶ τῆς ἡμετέρας νομοθεσίας κεφάλαιον· Ὢ στόμα μέγα λαλοῦν (οἷον γὰρ εἶδε Δανιήλ) καὶ μέγα λαλοῦν, καὶ Θεοῦ κατεπαιρόμενον, καὶ ταπεινοῦν τοὺς ἁγίους τοῦ ὑψίστου διανοούμενον· καὶ χρόνους καὶ καιροὺς ἀλλοιοῦν· ἆρα προσέχειν ἀνεκτὸν ἐστὶν ἀνδράσι, ταπεινοῦν οὐ τοὺς ἁγίους μόνους τοῦ ὑψίστου, ἀλλ' ἤδη καὶ αὐτὸν τὸν τῶν ἁγίων ἅγιον καὶ ὕψιστον ἐπιχειροῦσι; Τί τοίνυν ἰδόντες προσεκολλήθητε τῷ πάπᾳ Ῥώμης, ἀποσπασθέντες τῶν ὀρθοδόξων, πάλιν ἐρρίμμην τοὺς ἀποστάτας; ὅτι καιροὺς ἀλλοιοῦν διενοήθη; ἐγὼ γὰρ οὐδὲν τῶν πατρῴων καταλιπεῖν ἀνεπιρέξασον. Διὰ γὰρ τοῦτο νέον εἰσάγεται καλανδάριον, καὶ αὐτὸ ἐπιγραφόμενον τῆς Ῥώμης, ἵνα τοὺς παρὰ τῶν πατέρων ὁρισθέντας ἱερωτάτους τῆς κυρίας τῶν ἑορτῶν καιρούς, μόνος αὐτὸς ἢ ἀδεῶς ὁ ἀνατρέπων καὶ ἀλλοιῶν, οὕτω περιποιούμενος ἑαυτῷ τὸ τῆς τυραννίδος κράτος, μυωπάζοντος τοῦ κόσμου παντός· Ἀλλὰ τί διδάσκοντι τῷ πάπᾳ Ῥώμης πεισθέντες, τὴν παραδοθεῖσαν κατελείπατε διδασκαλίαν; ποῦ ἴσαι ἡμέραι νεωτερισμούς; ἀλλὰ Παῦλος βοᾷ, Εἴ τις ὑμῖν εὐαγγελίζηται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω· τοῦτο τὸ ἀνάθεμα καὶ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς δευτέρας συνόδου ὁρισθὲν κατὰ τῶν τολμησάντων προσθήκην τινὰ τῷ συμβόλῳ τῆς πίστεως, ἢ ἀφαίρεσιν ἐμποιῆσαι, καὶ φυλαχθὲν παρὰ πασῶν τῶν ἐφεξῆς ἁγίων συνόδων, μόνος ὁ Ῥώμης ἀνέτρεψέ τε καὶ κατεπάτησε· καὶ πῶς γὰρ ἂν τοὺς πατέρας λογίσηται εἶναί τι, ὁ τὸν Σωτῆρα αὐτὸν κοινὸν ἡγησάμενος; Τί δαὶ καὶ εὑρόντες ἐν τῇ Ἀνατολικῇ τῶν ὀρθοδόξων Ἐκκλησίᾳ, τὴν πρὸς αὐτὴν κοινωνίαν, ταῖς χρησταῖς (χρυσαῖς εἴποι τις ἂν οἰκειότερον) ἐλπίσι ταῖς ἐπαγγελλομέναις παρὰ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας (εἴγε καὶ Ῥωμαϊκῆς) εἴ τις τὴν τῆς Ῥωμαϊκῆς Ἐκκλησίας πίστιν, καὶ τὰς τῶν πάλαι παραδόσεις ἀνέτρεψε) παρασυρέντες ἀπεῖπατε; Ὅτι φασὶν ἀπώλεσε τὴν βασιλείαν ἡ Ἀνατολικὴ Ἐκκλησία· ὢ τῆς ἀπάτης· ἀλλὰ πρῶτον μέν, τοῦτο, οὐ σήμερον ἢ χθὲς συνέβη· δεύτερον δέ, καὶ βασιλείας πλουτεῖ ἡ ὀρθόδοξος πίστις· καὶ ὁ Μοσκοβίας γὰρ κράτιστος βασιλεὺς ὀρθόδοξος· καὶ σοῦ γε ἡ ἀρχὴ λαμπροτάτη Κνέζη Βασίλειε, καὶ πολλοὶ κατά τε Ἀνατολὴν καὶ Δύσιν τὴν ὀρθόδοξον πίστιν πρεσβεύουσιν· ἀλλὰ τὸ τρίτον, καὶ οὐ Χριστιανοὶ οἱ Χριστιανοὶ διὰ τὴν ἐπίγειον βασιλείαν· αὐτὸς γὰρ ἔφη ὁ Σωτήρ, ὅτι Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· τί δαὶ τὸ ἱερὸν εὐαγγέλιον, καὶ τοῦτο οὐκ ἐδήλωσεν ἡμῖν πειρασμὸν εἶναι τοῦ διαβόλου τὰς τοῦ κόσμου βασιλείας προτείνειν εἰς ἀποστασίαν τὴν ἀπὸ Θεοῦ, τοῦτον δὲ τὸν πειρασμὸν ἀποδιοπομπούμενος ὁ Σωτήρ, οὐκ ἐδίδαξεν ἡμᾶς ἀπολύτως προσκυνεῖν τῷ μόνῳ Θεῷ, μηδὲν ἀποβλέποντας εἰς γηΐνας δόξας καὶ ἀπολαύσεις; πλὴν ἔστω, τεταπείνωται ἡ Ἐκκλησία ἡ Ἀνατολικὴ τὴν ἐπίγειον βασιλείαν ἀφαιρεθεῖσα (καὶ ταυτησὶ τῆς συμφορᾶς οὐκ ἀναίτιος ὁ Ῥώμης, ὁ τὴν Ἐκκλησίαν ταῖς καινοτομίαις σχίσας καὶ διαχωρίσας τοὺς ἀδελφούς, εὐχειρώτους τε ποιήσας τοὺς ἀνατολικοὺς τοῖς ὑπεναντίοις,) ἀλλ' ἔσω τεταπείνωται τὰ τῆς Ἐκκλησίας ἀποκεκριμένης τὸν ἔξω κόσμον· τί φατὲ (πρὸς τοὺς

“ Λουκ. θ.

Δανιὴλ ζ.

Περὶ τοῦ νέου καλανδαρίου.

“ Γαλάτ. α.

“ Ἰωάν. ιη.

ἀποστόλοις πάλιν ὁ λόγος) οὐκ οἴδατε, οὐκ ἠκούσατε, οὐκ ἀνηγγέλη ὑμῖν ὅπως ὁ Χριστὸς αὐτὸς ἡ κεφαλὴ τῆς Ἐκκλησίας ἐπολιτεύθη; ἆρα χρυσοϋφάντοις τισὶ στολαῖς κοσμούμενος; πολυδαιδάλοις ἀνακτόροις; τραπέζαις πολυτελέσι; λαμπραῖς τισὶ δορυφορίαις; καὶ ταῖς ἄλλαις τοῦ βίου ἀπάταις; ἢ βασιλείας κενῆς φαντασίαις ἐνδιαιτώμενος; οὐ πτωχὸς ἦν ὁ Σωτήρ; οὐ ξένος; οὐ προσωμίλησε διωγμοῖς; κινδύνοις, ὀνειδισμοῖς, ὕβρεσι, στενοχωρίαις, πληγαῖς, θανάτῳ, συκοφαντίαις; τοῖς δὲ ἰδίοις ὧδε βασιλείας ὑπερεχέθη; ἢ συμπαθείας σαρκικάς; ἢ βίου εὐμάρειαν; μᾶλλον δὲ πῶς οὐ θαυμάζετε ὅτι καὶ Ἀνατολικῆς τῆς βασιλείας ἀνατραπείσης, ἡ τῆς εὐσεβείας ὀρθότης (Θεοῦ συναιρομένου) ἔμεινεν ἀκλινής; τοσούτῳ λαμπροτέρα, ὅσῳ καὶ βασιλείας δίχα βασιλεύει, τῆς τοῦ Σωτῆρος χάριτος ἐν ταῖς ἡμῶν ἀσθενείαις τελειουμένης, καὶ βασιλευούσης τῆς Χριστοῦ πίστεως ἐν μέσῳ τυράννων ἀσεβῶν· καὶ οἷον κρίνον ἐν ἀκάνθαις ἀκμαζούσης, οὐ σοφίᾳ (κατὰ ἀνθρώπους) κεκτημένης τὴν ἰσχύν, οὐ πλούτῳ, οὐ δυναστείᾳ κρατυνομένης, ἀλλὰ μόνῃ χειρὶ Θεοῦ· πῶς οὐ τοῦτο μέγα; πῶς οὐ θαυμαστόν; τίνα οὐκ ἂν καταπλήξειεν, ὅτι ἡ τοῦ πάπα κατὰ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ τυραννὶς καὶ ἀρχαῖς χρωμένη, καὶ λαμπραῖς ἐλπίσι δελεάζουσα, καὶ πλούτῳ περιρρέουσα, καὶ φλοξὶ καὶ σιδήρῳ πάντα πυρπολοῦσα, ὀλίγ' ὅμως κλονεῖται, γινομένη καὶ τοῖς ἰδίοις ἤδη καταγνωστος· ἡ δὲ τοῦ Χριστοῦ Ἐκκλησία πάντοθεν στενοχωρουμένη τε καὶ πολεμουμένη, πάντοθεν φανεραῖς τε καὶ κεκρυμμέναις μηχαναῖς, μένει γ' ὅμως ἀδιάσειστος, κρατοῦσα καὶ κρατύνουσα ἣν παρέλαβεν ἐκεῖθεν ἀπὸ τῶν ἱερῶν ἀποστόλων καὶ τῶν θεσπεσίων πατέρων πίστιν ἀπαράτρεπτον. Ἐπιστρέψατε οὖν ἐκ τῆς πλάνης καὶ σώζητε, ἐπιστρέψατε υἱοὶ ἀφεστηκότες, καὶ μὴ ἐπί τισιν ἐγκλήμασιν ἐγκαλούμενοι, οἰόμενοί τε τοὺς ἐλέγχους ἐκκλῖναι εἰς τηλικοῦτον βυθὸν ἑαυτοὺς ἐπιρρίπτετε· ἀπηλλάχθητε μᾶλλον πάσης ἀκαθαρσίας, καὶ μὴ προσαπολέσατε καὶ τὸν τῆς πίστεως θησαυρόν· Κρεῖσσον ὑμῖν ἐστι, κρεῖσσον πάντως παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ κυρίου (κατὰ τὸν θεοπάτορα Δαβὶδ) ἢ οἰκεῖν ἐν σκηνώμασιν ἁμαρτωλῶν· (Ψαλ. πγ.) ταῖς ἡδοναῖς μὴ δουλεύωμεν ἀδελφοί. Μωσῆς ὁ μέγας συγκακουχεῖσθαι προείλετο τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν· κρείσσονα πλοῦτον ἡγησάμενος τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν μέλλουσαν μισθαποδοσίαν· καὶ πάντες δὲ οἱ πατέρες οἱ θεοφιλεῖς, ξένοι καὶ πάροικοι περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος· ὁ Σωτὴρ αὐτὸς δι' ὀδυνῶν βαδίσας καὶ θανάτου σταυροῦ, τὴν τῆς σωτηρίας ἡμῖν ἔτεμεν ὁδόν, τὸν αὐτὸν καὶ ἡμῖν τρόπον διδάσκων βαδιστέον πρὸς τὴν ἀκήρατον ζωήν: Ἀλλὰ τυχὸν ἡ κατὰ τὸ πάσχα καινοτομία κρεῖττόν τι τῇ Ἐκκλησίᾳ προβλεψαμένη, πρὸς τὴν τοῦ πάπα Ῥώμης παραφέρει μάνδραν· μὴ φέροντας πορρωτέρω τῆς ἰουδαϊκῆς σκιαλατρείας τὰς ἡμετέρας τοῦ νέου φυράματος τελεῖσθαι ἑορτάς· ἀλλ' αὐτὴ καὶ μόνη ἐξαρκέσειεν ἂν εἰς τὴν πάσης ἐπιτιμήσεως ἐνοχήν· συνέχεεν γὰρ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ ἐπὶ μηδενὶ ἀγαθῷ· ἀδιάφορον γὰρ ὂν ὁποτέρως ἂν εἶχεν, οὐκ ὤφειλε περισαλευθῆναι τῷ σάλῳ πολλῷ τῆς Ἐκκλησίας ἁπάσης· καὶ γὰρ καὶ τοῖς ἔξω νομοθέταις τῶν ἀτοπωτάτων εἶναι δοκεῖ, δίχα μεγάλης καὶ ἀριδήλου τῆς ὠφελείας, περισαλευθῆναί τι τῶν ὅσα χρόνον ἐκύρωσε μακρὸν ἡ τῶν λαῶν συγκατάθεσις· ὁ δὲ τῆς πρεσβυτέρας Ῥώμης πάπας τῶν ἄλλων ἁπάντων ἑαυτὸν ὑπεραίρων, καὶ πάντων καταφρονῶν, ἔτι καὶ κατηγορεῖ τοῦ κανονίου τῶν πατέρων, ἵνα μὴ δόξῃ ἀλόγως τὸ καλανδάριον καινοτομήσας· οὐκ εἰδὼς ὅτι τὸ τῶν πατέρων κανόνιον ὑγιῶς ἔχει ὥστε τελεῖσθαι τὸ θεῖον πάσχα μετὰ τὴν ἰσημερίαν τὴν ἐαρινήν, καὶ μὴ μετὰ Ἰουδαίων καθὼς ἀπαιτεῖ ὁ ἕβδομος

τῶν

τῶν ἱερῶν ἀποστόλων κανών· καὶ ὑγιεῶς ἔχοντος τοῦ κανονίου τῶν πατέρων, καὶ πατρικοῦ ὄντος, πολλαχῶς ἁμαρτάνουσι τοῦ προσήκοντος οἱ προσέχοντες ἑτέροις καλανδαρίοις· εἰ δὲ τοῦτο ἀπαιτεῖ ὁ κανὼν τὴν ἀπὸ τῶν Ἰουδαίων ἀναχώρησιν, φανερὸν δὲ τίνες ἀποσχοινιζόμεθα μᾶλλον της τῶν Ἰουδαίων ἀνιέρου λατρείας, μετὰ καὶ τῆς παραφυλακῆς τῆς ἰσημερίας τῆς ἐαρινῆς· πρόδηλον πᾶσιν ἐπικρέμαται ὁ κίνδυνος τοῦ ἐπιτιμίου ὃ διωρίσαντο οἱ ἐν Ἀντιοχείᾳ πατέρες, κωλύοντες ὅλως ἄλλως τὸ πάσχα ἐπιτελεῖν, ἢ παρέδωσαν οἱ πατέρες οἱ ἐν Νικαίᾳ· λέγει γὰρ οὕτω ὁ πρῶτος κανών. Πάντας τοὺς τολμῶντας παραλύειν τὸν ὅρον τῆς ἁγίας καὶ μεγάλης συνόδου τῆς ἐν Νικαίᾳ συγκροτηθείσης ἐπὶ παρουσίᾳ τῆς εὐσεβείας τοῦ θεοφιλεστάτου βασιλέως Κωνσταντίνου περὶ τῆς ἁγίας ἑορτῆς τοῦ σωτηριώδους πάσχα, ἀκοινωνήτους καὶ ἀποβλήτους εἶναι τῆς Ἐκκλησίας, εἰ ἐπιμένοιεν φιλονεικότερον ἐνιστάμενοι πρὸς τὰ καλῶς δεδογμένα· κατὰ γὰρ τὸ τῶν πατέρων ἐκείνων τῶν ἁγίων κανόνιον ὡς ἂν ἔχοιεν ἢ δέξοιε τὰ τοῦ χρόνου, οὔτε περὶ τῆς ἰσημερίας τῆς ἐαρινῆς, οὔτε μετὰ Ἰουδαίων πασχάζομεν ὡς διακελεύεται ὁ τῶν ἱερῶν ἀποστόλων ἕβδομος κανών· καὶ πάντοτε ἐν τῇ κυρίᾳ τῶν ἡμερῶν, ὡς ἡ ἐκκλησιαστικὴ παράδοσις ἀπαιτεῖ· τί φήσομεν καὶ πρὸς ταῦτα κρινόμενοι ἐπὶ Θεοῦ; καταπατοῦμεν καὶ τὰς ἐπιτιμήσεις ταύτας, ὡς καὶ τοὺς ἀναθεματισμοὺς ἐκείνους, τούς τε Παύλου ἐπὶ τοῖς νεωτερισμοῖς, καὶ τῶν συνόδων τῶν ἁγίων ἐπὶ ταῖς προσθήκαις τοῦ συμβόλου; καὶ τίς παραιτήσηται τοὺς τολμητείας τῆς δικαίας κολάσεως; ὁ Ῥώμης πάπας; ἀλλ' εἷς οὐκ ἦν ἱκανὸς τὸν ὅρον λῦσαι τῶν πολλῶν, καὶ Ῥώμης πάπων, καὶ τῶν λοιπῶν πατριαρχῶν· οὐδὲ παραιτήσασθαι τοὺς ἐν αἰτίᾳ ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ· Ἀλλ' ἐπιστρέψατε οἱ ἀφεστηκότες, λέγει κύριος διὰ Ἡσαΐου ὑμᾶς ἀνακαλῶν.

Κανὼν α.

Ἠσαΐας

Εἰ μὲν οὖν ἐπιστρέψωσιν ὦ θεοφιλέστατοι ἄρχοντες, ἔχουσι δὲ ἔγκλημα ἄλλο οὐδὲν αὐτοὺς εἶργον τῆς Ἱερωσύνης, παρ' αὐτὸ τοῦτο, τουτησὶ δηλαδὴ τῆς ἀποστασίας, τυγχανέτωσαν συγγνώμης, συγγνώμην πρότερον αἰτήσαντες, καὶ μεμψάμενοι ἑαυτοῖς ὅτι εὐκόλως ἐξηπατήθησαν, καὶ ἐπαγγειλάμενοι κρείττονα συναναστροφήν· ταῦτα ποιοῦντες τυγχανέτωσαν συγγνώμης παρὰ τῆς καθ' ἡμᾶς ἁγίας Ἐκκλησίας, καὶ ἡστινοσοῦν ἂν ἑτέρας φιλανθρωπίας. Οἱ δὲ ἔχοντες ἔγκλημά τι τὴν ἱερωσύνην ἀφαιροῦν, μενέτωσαν πάντως ἀργοί, κατὰ τὸν .θ. κανόνα τῶν ἐν Νικαίᾳ .τιη. θεοφόρων πατέρων. Τρεῖς δὲ τοὐλάχιστον τῶν ὀρθοδόξων ἀρχιερέων ἐπὶ τὸ αὐτὸ γινόμενοι (κατὰ τοὺς κανόνας τῶν θείων πατέρων, νεύσει τῇ σῇ θεοφιλέστατε Κνέζη Βασίλειε συναθροισθέντες, συνευδοκούντων καὶ τῶν λοιπῶν ἀρχόντων, καὶ τοῦ ἐμοῦ πνεύματος, πάρεσμεν γὰρ ὑμῖν οὕτω ποιοῦσιν ὡς ὑπομιμνήσκωμεν) χειροτονησάτωσαν ἀρχιερέα καὶ μητροπολίτην ὀρθόδοξον· οἱ δέ γε ἀποστάται περιπλέτωσαν τὰ ἑαυτῶν, ἔξω τῆς Ἐκκλησίας τοῦ Θεοῦ· Ὑμεῖς δὲ οἱ τοῦ Χριστοῦ συγκληρονόμοι καὶ κληρονόμοι Θεοῦ, ὁ περιούσιος λαός, τὸ βασίλειον τοῦ Σωτῆρος Χριστοῦ ἱεράτευμα, εἰρήνην ἄγετε, τὸ αὐτὸ φρονοῦντες καθὼς ἄνωθεν ἀπαρχῆς· καὶ πορευόμενοι ἀπὸ δόξης εἰς δόξαν· στερεούμενοι τῷ πνεύματι τῷ παρακλήτῳ, τῷ ἐκπορευομένῳ ἐκ τοῦ πατρός, ὡς ἐδίδαξεν ὁ τοῦ Θεοῦ μονογενὴς υἱὸς καὶ λόγος· ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, οὗτοι εἰσὶν υἱοὶ Θεοῦ· αὐτὸς καὶ ἡμᾶς ἀξιώσειε θεάσασθαι ποτὲ ὑμᾶς (ὡς ἐπιποθοῦμεν) αὐτοψεί· καὶ ἀπολαῦσαι τῆς ὑμετέρας ἀγάπης, εὐφραινομένους τῇ τῆς πίστεως ὀρθοδοξίᾳ· ὁ δὲ Θεὸς ἡμῶν τῆς ἐλπίδος καὶ τῆς παρακλήσεως διαφυλάττειεν ὑμᾶς ὑπὸ τὴν σκέπην τῶν πτερύγων τῆς αὐτοῦ θείας χάριτος, ἀκράδαντον κεκτημένους τὸ ὀρθόδοξον φρόνημα, καὶ ταῖς τῆς εὐσεβείας κεκοσμημένους ἀκτῖσιν, ἵνα γένησθε ἄξιοι καὶ τῆς μελλούσης τοῦ Θεοῦ βασιλείας· ἧς γένοιτο πάν-

ται ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ καὶ Θεῷ καὶ Σωτῆρι ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν πατρὶ καὶ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ἐν Ἀλεξανδρείᾳ Πυανεψιῶνος .γ. ἱσταμένου .ζρε.

ΜΕΛΕΤΙΟΣ ΕΛΕΩ ΘΕΟΥ ΑΡΧΙΕΠΙΣΚΟ-πος Ἀλεξανδρείας, Λιβύης, Πενταπόλεως, Αἰθιοπίας, καὶ πάσης γῆς Αἰγύπτου:

Τοῖς εὐσεβεστάτοις καὶ ὀρθοδοξοτάτοις Ῥώσοις τὴν ἀνάπασαν τὴν ὑψηλοτάτην ἀρχὴν τῆς κρατίστης βασιλείας Πολωνίας παροικοῦσι, τοῖς ἐν κυρίῳ υἱοῖς περιποθήτοις τῆς ἡμῶν μετριότητος, χάριν ἔλεος καὶ εἰρήνην παρὰ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ,

Ἀμήν.

Ἄνδρες Ῥῶσοι τῆς εὐσεβείας τὰ θρέμματα, τῆς ὀρθοδοξίας ὑπερασπισταί, οἱ τῇ προαιρέσει ἤδη καὶ μάρτυρες, καὶ πρὸς τὸ κράτος τῆς βασιλείας ἀντέστητε ὑπὲρ τῆς εὐσεβείας ἀγωνιζόμενοι, ἥκιστα μέντοι ταῖς παρὰ Θεοῦ δοθείσαις ἀντεπαιρόμενοι ἐξουσίαις, ἀλλὰ τὴν τοῦ Θεοῦ ἀγάπην πάντων τῶν ἄλλων προτιμῶντες, καὶ τὸ τῆς ἀληθοῦς πίστεως εἰλικρινὲς ἐνδεικνύμενοι, δευτερεύειν ἀνεχόμενοι τῶν ὅλων ὅλως οὐδενί, ὑμᾶς ξενοτρόπως αἱ καθ' ἡμᾶς ἡμέραι αἱ κατὰ τοῦτο μόνον οὐ πονηραί, κατεθεάσαντο οὐ πανοικὶ μάρτυρας, ἀλλὰ πανδημεί· ἐν ὑμῖν παραδόξως τὸ φῶς γενόμενον σκότος, φῶς τὸ σκότος ἀπήλεγξεν· οἱ γὰρ ταχθέντες ἡγεμονεύειν ἡμῶν ποιμένες λύκοι γενόμενοι, καὶ ἀποστατήσαντες τῆς καλῆς ἀγέλης τοῦ Χριστοῦ, οὐ μόνον σπαράξαι ὑμᾶς, ἢ θῦσαι, ἢ ἀπολέσαι οὐκ ἴσχυσαν, ἀλλὰ καὶ εἰς μείζω ζῆλον ἀντικατέστησαν· ποιμένων γὰρ ἀνελάβετε ζῆλον ὑμεῖς, καὶ τοὺς κακοὺς ποιμένας ἀνεστράφητε τῆς ἀληθείας ἐκστάντας, καὶ τὴν ὀρθοδοξίαν διὰ τὴν τῶν ἀνθρώπων δόξαν καταστῆσαι μὲν ἐπιχειρήσαντας, οὐκ ἰσχύσαντας δὲ Θεοῦ χάριτι. Ὦ πρόβατα χριστώνυμα, καὶ τῷ ὄντι Χριστοῦ, καὶ παρὰ Χριστοῦ μεμαθηκότα τῶν ἀλλοτρίων μὴ ἀκούειν τῆς φωνῆς, μηδ' ἀκολουθεῖν τοῖς ἀλλοτρίοις. ὦ ἄγγελοι ἐπίγειοι μιμούμενοι τοὺς οὐρανίους καὶ ταὐτὸ πεπονθότες τοῖς ἐπουρανίοις, μὴ συνεκπεσοῦσι τῷ ἑωσφόρῳ· θαῦμα μέγα πῶς ἐφύλαξεν ὑμᾶς ἡ θεία χάρις, καὶ τῶν ἐπισκόπων τῶν ὑμετέρων (φεῦ τῆς ἀπάτης) τὸν νῦν ἀγαπησάντων αἰῶνα, καὶ στραφέντων εἰς τὰ ὀπίσω, καὶ τῆς εὐσεβείας καὶ ὀρθοδοξίας ἀποστατησάντων, ὑμεῖς μεμενήκατε στῦλοι ἀκλόνητοι, ἑδραῖοι τῇ πατροπαραδότῳ διδασκαλίᾳ, τῇ τοῦ σωτῆρος, τῇ τῶν ἀποστόλων, τῇ τῶν πατέρων, μεθ' ὧν καὶ στεφανωθήσεσθε εὖ οἶδα, τοὺς στεφάνους ἐκείνους τῆς δικαιοσύνης (οὓς τοῖς κατὰ Παῦλον τὸν δρόμον τετελεκόσι καὶ τὴν πίστιν τετηρηκόσιν, ἐν ἐπαγγε-

πρὸς Τιμ. β. κεφ. δ.

λίαις

λίαις ὑποκειμένους, ὁ δίκαιος ἀποδώσει κριτὴς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· ἀλλὰ ταῦτα μὲν ἐν τούτοις.

Ἡμεῖς δὲ τοὺς καθ' ὑμᾶς ἀναμαθόντες ἔτι ἐν Αἰγύπτῳ πειρασμοὺς, τῷ πνεύματι συνεδραμόμεθα, ἀπεστείλαμέν τε μὴ φειδόμενοι πόνων καὶ μόχθων, ἵνα συναθλήσωμεν ὑμῖν τοὺς ὑπὲρ τῆς ὀρθοδοξίας ὀλυμπίους ὄντως ἀγῶνας καὶ στεφανωθῶμεν (Θεοῦ χάριτι) τοὺς ἀμαραντίνους στεφάνους· ἀλλὰ καὶ τὴν Θρᾴκην καταλαβόντες, καὶ τὴν τῶν πόλεων βασιλεύουσαν, τὸν αὐτὸν ἔχοντες ζῆλον, τῶν αὐτῶν ἡψάμεθα πόνων· νυνὶ δὲ πάλιν τῶν ζητημάτων τῶν καθ' ὑμᾶς κεκινημένων, καὶ πρὸς ἡμᾶς παρεπεμφθέντων, σὺν ὑμῖν τούτων τὴν λύσιν ἀθλῆσαι ἔγνωμέν τε σὺν Θεῷ καὶ οὐ δηλώσωμεν, ἢ καταλύσωμεν γενναίως, οὐ τῇ ἡμετέρᾳ σοφίᾳ τεθαῤῥηκότες, ἢ παιδείᾳ καὶ τῇ ἄλλῃ ἀρετῇ, οὐδένες ἡμεῖς· ἀλλὰ τῇ τοῦ πνεύματος εὐσθενείᾳ καὶ δωρεᾷ, καὶ τῇ τῶν ζητημάτων μὲν σχήματι, κατηγορειῶν δὲ ταῖς ἀληθείαις, σαθρότητι· τούτων γὰρ τὸ χαῦνον καὶ ἰδεῖν ῥᾴδιον, καὶ διαλῦσαι εὐχερές.

Κατηγοροῦσι τοίνυν κατὰ μὲν τοῦ Κωνσταντινουπόλεως πατριάρχου, ὅτι οἰκουμενικός· πόθεν γάρ φασιν ἐστὶν ἢ λέγεται; εἶτα τοῦ Ἀλεξανδρείας, πόθεν κριτὴς τῆς οἰκουμένης; κατὰ Θεοῦ γάρ φασιν ὑπεραίρεται. εἶτα τῶν Ἱεροσολύμων προσβαλλόμενοι, πῶς οὐ προτιμᾶται τῶν τριῶν· δηλονότι Κωνσταντινουπόλεως, Ἀλεξανδρείας, καὶ Ἀντιοχείας; τοὺς τρεῖς μηχανῶνται καταβαλεῖν, οὐ τῶν Ἱεροσολύμων ἐγεῖραι· διὰ τοῦτο καὶ τοὺς τρεῖς παραλαμβάνουσι, τὸν τῆς Ῥώμης ἀφέντες· ὃς καὶ τετίμηται, τῶν κορυφαίων ἐκεῖ τὸν δρόμον τετελεκότων· ὅτι γὰρ τοῦ θρόνου ἐκείνου τῆς πρεσβυτέρας Ῥώμης, οἱ τῆς πρεσβυτέρας παῖδες Ῥώμης λόγον ποιοῦσιν, οὐδένα ποιοῦνται λόγον τοῦ σωτηρίου τάφου, τῷ θρόνου τῆς πρεσβυτέρας Ῥώμης τὴν ἀρχὴν τηροῦντες ἀπαρασάλευτον· κεῖται δὲ ἀκλεὴς αὐτοῖς ὁ ζωοδόχος τάφος τοῦ Χριστοῦ, ἵνα προστριβῇ δόξα καὶ τιμὴ τῷ πρεσβυτέρας Ῥώμης θρόνῳ, ὑπεραρθείσης τῷ τῶν κορυφαίων τάφῳ Πέτρου καὶ Παύλου, τῶν τοῦ Σωτῆρος ὑπερφυεστάτων μαθητῶν· αὕτη γὰρ ἡ τῆς πρεσβυτέρας Ῥώμης ἀκρόπολις, ἐν ᾗ τὸ τῆς τυραννίδος ἵδρυται κράτος·

Ἀλλὰ ζητεῖτε πόθεν οἰκουμενικὸς ὁ Κωνσταντινουπόλεως, καὶ πόθεν κριτὴς τῆς οἰκουμένης ὁ Ἀλεξανδρείας, καὶ τίνος χάριν ἔσχατος ἐν βαθμοῖς θρόνων ὁ Ἱεροσολύμων; Τὴν μὲν οὖν ἰσχὺν καὶ δύναμιν, καὶ ἀξίαν τὴν ἀνὰ πᾶσαν τὴν οἰκουμένην, ἔχει λαβοῦσα ἡ τοῦ Χριστοῦ Ἐκκλησία παρὰ Χριστοῦ· ἐν οἷς τε ἔλεγε πρὸς τὴν ἱερὰν χορείαν τῶν ἀποστόλων, „Ὅτι ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα λύσητε ἐπὶ τῆς Ματθ. ιη.
„γῆς ἔσται λελυμένα ἐν οὐρανοῖς· ἐπὶ τῆς γῆς φησι, τὴν ὑφήλιον ἅπασαν συμπαραλαμβάνων· καὶ γὰρ καὶ αὐτὸς ὁ υἱὸς τοῦ Θεοῦ ὁ μονογενὴς περὶ ἑαυτοῦ ἔλεγεν· „Ἵνα δὲ ἰδῆτε Ματθ. θ.
„ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας· οὐχ ἑνί τινι τόπῳ „τὴν ἑαυτοῦ ἐξουσίαν περιγράφων, ἀλλ' ἀνὰ τὴν οἰκουμένην πᾶσαν ἐξαπλῶν· καὶ ἐν οἷς ἔλεγε, Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει· „Ματθ. κη.
τὴν οὖν ἐπιστασίαν καὶ ποιμανσίαν τὴν οἰκουμενικὴν ἐν τούτοις συνίστησιν ὁ Σωτήρ· καὶ ταύτην οἷόν τινα πάνδημον θησαυρὸν τῇ Ἐκκλησίᾳ παρατίθησιν· ἀλλὰ ταῦτα μὲν πρὶν τὸν Σωτῆρα τῶν ἐπιγείων ἀπᾶραι· Μετὰ δὲ τὴν τοῦ Σωτῆρος εἰς οὐρανοὺς ἀναπεφοίτησιν διασπαρέντες (ὡς αἱ πράξεις διασαφοῦσι) ἄλλος ἀλλαχόσε οἱ μαθηταὶ πάντας ἐζώγρησαν τῷ Χριστῷ διὰ τοῦ σωτηρίου κηρύγματος, τῆς θανατηφόρου πλάνης τὸν ζόφον, ταῖς ζωηφόροις τοῦ εὐαγγελίου διαλύσαντες αὐγαῖς· ἔνταλμα δὲ λαβόντες παρὰ τοῦ Σω-

τῆρες οὐ τὸν ἀμπελῶνα μόνον ἐργάζεσθαι, ἀλλὰ καὶ ἔργα τῶν τοῦ ἀμπελῶνος ὑπερφροντίζειν, καὶ δὴ καὶ δέεσθαι τοῦ Κυρίου τοῦ ἀμπελῶνος (οὕτω γὰρ διὰ προσδοχῆς δηλονότι καθίστανται οἱ τοῦ ἀμπελῶνος ἐργάται παρὰ τοῦ Κυρίου τοῦ ἀμπελῶνος, ἀξιούμενοι τὸ ἀμπελουργεῖν) ἐκβάλλειν ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ, τοῦτο δὴ καὶ πεποιήκασι, κατὰ πόλεις καὶ τόπους καθιστῶντες πρεσβυτέρους καὶ ἐπισκόπους· διαταξάμενοι τοὺς ἐπισκόπους ἑκάστου ἔθνους ἕνα γινώσκειν πρῶτον αὐτῶν, καὶ δίχα τῆς ἐκείνου γνώμης πράττειν οὐδέν· οὕτω τὴν καθολικὴν ἐξουσίαν συνάγοντες· καὶ τοὔμπαλιν οὐδ' αὐτὸν πράττειν δίχα τῆς τῶν πάντων γνώμης· οὕτω τὴν ἐξουσίαν κοινοῦντες τοῖς ἀδελφοῖς· ὡς ἐν τριακοστῷ τετάρτῳ κανόνι τῶν ἱερῶν ἀποστόλων ἐμφέρεται· ἔχει δ' οὕτω. [Ἀποστ. κανὼν λδ'.] Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλήν, καὶ μηδέν τι πράττειν ἄνευ τῆς ἐκείνου γνώμης· ἐκεῖνα δὲ μόνα πράττειν ἕκαστον, ὅσα τῇ ἑαυτοῦ παροικίᾳ ἐπιβάλλει, καὶ ταῖς ὑπ' αὐτὴν χώραις· ἀλλὰ μηδὲ ἐκεῖνος ἄνευ τῆς πάντων γνώμης ποιείτω τι· οὕτω γὰρ ὁμόνοια ἔσται· καὶ δοξασθήσεται ὁ Θεὸς διὰ τοῦ Κυρίου ἐν ἁγίῳ πνεύματι, ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα· Ταῦτα τὰ πρεσβεῖα τοῦτον ἔχοντα τὸν τρόπον, διωρίσατο τῶν ἱερῶν ἀποστόλων ἡ ὁμήγυρις, καὶ ταῦτα διετέλεσε φυλάττουσα· οὐ γὰρ ἄλλως ἐποίουν οἱ μακάριοι, ἢ ὡς ἐδίδασκον, τὴν ἑαυτῶν μιμούμενοι κεφαλήν, τὸν ἡμῶν Κύριον καὶ Σωτῆρα, ποιοῦντα, καὶ διδάσκοντα· τὰ τοίνυν πρακτικὰ τῆς ἱερᾶς ἐκείνης συνόδου τῶν μαθητῶν ταῦτα παρίστησιν· Ὁρῶμεν οὖν πάντας μετὰ τοῦ φωτὸς μετεσχηκότας, καὶ τῶν πυρίνων ἐκείνων γλωσσῶν, καὶ λαλοῦντας τὰ μεγαλεῖα τοῦ Θεοῦ· ἐπὶ δὲ τῷ παραδόξῳ ξενιζομένων τῶν ἐθνῶν, Πέτρος μὲν ἀνίστησι, καὶ τῆς τοῦ πνεύματος τοῦ ἁγίου θαυματουργίας ὑπεραπολογούμενος, τὰς σωτηρίους ἀρχὰς τοῦ εὐαγγελικοῦ προκαταβάλλεται κηρύγματος· ὥσπερ δὴ καὶ παραυτὰ τῆς τοῦ Σωτῆρος ἀναλήψεως ἐπὶ τῇ τοῦ Ματθία χειροτονίᾳ πεποίηκε, πρῶτος τὴν ὑπόθεσιν προβαλών, ἀλλ' οὐ μόνος ἐκτελῶν τὴν ἐνέργειαν. Ἔστησαν [Πράξ. α.] γάρ φησι δύο, τὸν Ἰωσήφ, καὶ τὸν Ματθίαν, καὶ προσευξάμενοι εἶπον· καὶ ἔδωκαν κλήρους· ἐν ταὐτῷ καὶ τάξιν τινὰ διασωζομένης ἐνδεικνύων ὁ ἱερὸς λόγος τῆς θείας γραφῆς, καὶ τὴν τυραννικὴν κατὰ τῶν ὁμοταγῶν αὐτονομίαν ἀφελόμενος· καὶ ἴδε μοι τοῦτο λαμπρότερον [Πράξ. η.] ἐξ ὧν ἔπραξαν οἱ θεοφόροι ἐκεῖνοι ἀπόστολοι· χρείας γὰρ ἀναφυείσης Ἀκούσαντες οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς τὸν Πέτρον (πέμπεται Πέτρος καὶ οὐ μόνος) τὸν Πέτρον καὶ Ἰωάννην ὑπηρετήσοντας τῇ [Πράξ. ιε.] βουλῇ αὐτῶν· Καὶ στάσεως γενομένης καὶ ζητήσεως (οὕτω γὰρ αἱ πράξεις δεδηλώκασιν ἐν πέντε καὶ δεκάτῳ κεφαλαίῳ) τῷ Παύλῳ καὶ Βαρνάβᾳ, ἔταξαν ἀναβαίνειν Παῦλον καὶ τινας ἄλλους ἐξ αὐτῶν (οὐ πρὸς Πέτρον μόνον,) ἀλλὰ πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους εἰς Ἱερουσαλήμ· ὧν παραγινομένων, Συνήχθησαν (φησὶν) οἱ ἀπόστολοι, καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου· πολλῆς τε συζητήσεως γενομένης, ἀναστὰς Πέτρος εἶπε πρὸς αὐτούς, ἄνδρες ἀδελφοὶ καὶ καθεξῆς· οἷς ἐπιφέρει. Μετὰ δὲ τὸ σιγῆσαι αὐτούς, ἀπεκρίθη Ἰάκωβος τά, καὶ τά· οἷς ἐπιλέγει. Διὸ ἐγὼ κρίνω· καὶ τὰ λοιπά· ἔχει δ' ἔμφασιν ὁ λόγος, τό, ἐγὼ κρίνω, ἐν μέσῳ ῥηθεὶς τῶν ἀποστόλων, καὶ τῶν λοιπῶν μαθητῶν, καὶ αὐτοῦ τοῦ μακαρίου Πέτρου τε καὶ προβαλόντος τὰ τῆς ὑποθέσεως, ὥστε περιγράφειν τὴν ἐξουσίαν πᾶσαν, καὶ αὐτῆς τῆς τῶν ἀποστόλων χορείας· γράφουσι δὲ μετὰ ταῦτα οἱ ἀπόστολοι τὴν ὁμόνοιαν [Πράξ. ιε.] ὑπεμφαίνοντες τὴν ἄτυφον· Ὅτι ἔδοξε τῷ πνεύματι τῷ ἁγίῳ καὶ ἡμῖν τό, καὶ τό· ταύτην [Ματθ. ιη.] τὴν ἐξουσίαν ἔδωκεν αὐτὸς ὁ Σωτὴρ τῇ Ἐκκλησίᾳ, ὑποσχεθείς Ὅπου ἂν ὦσι δύο ἢ

τρεῖς

τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματι αὐτοῦ, αὐτὸν παρεῖναι ἐν μέσῳ αὐτῶν· ἔστιν οὖν ἡ μὲν ἐξουσία καὶ δύναμις τῆς ἱεραρχικῆς ἐνεργείας καὶ χάριτος, οἷά τις κοινὸς συναπτικὸς παρὰ τοῦ Σωτῆρος αὐτοῦ τῇ Ἐκκλησίᾳ καταβεβλημένη· ἕπεται δὲ ταύτῃ τῇ δυνάμει τὸ εὔτακτον· συνεισάγει γὰρ τὸ ποιμαίνειν, καὶ τὸ ποιμαίνεσθαι· τῇ γὰρ ἀρχῇ τὸ ἀρχόμενον ἀκολουθεῖ· συνδέδεταί τε τὰ μέλη τῇ κεφαλῇ· διὸ κατὰ τόπους πρεσβυτέρους καταστήσαντες, καὶ αὐτοῖς ἐπισκόπους ἐπιστήσαντες, τὴν Ἐκκλησίαν εὐτάκτως διοικεῖσθαι προσέταξαν· ἣν δ' ἄρ' εἰκὸς πρὸς τὴν τῶν τόπων διαίρεσιν, καὶ τὰς ἐπιστασίας τῶν ἀδελφῶν διατάττεσθαι· οἱ δὲ τῆς ὑφήλιον πάσης τόποι διακεκριμένοι ὄντες, εἰς Ἀσίαν, Εὐρώπην, Ἀφρικὴν, ἐκληρώσαντο τὰς ἀξιολόγους ὑπεροχάς· ἐν γὰρ Ἀντιοχείᾳ οὔσῃ πόλει τῆς Ἀσίας, ἔνθα πρῶτον οἱ Χριστὸν Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου πιστεύοντες, Χριστιανοὶ ὀνομάζεσθαι ἐκρίθησαν, συγκροτηθείσης ἐκεῖ συνόδου ἐπὶ παρουσίᾳ τοῦ μακαρίου Πέτρου, πατριαρχικὸς θρόνος ἐπάγη: μετὰ δὲ ταῦτα τὴν τότε τῆς οἰκουμένης κρατοῦσαν πόλιν καταλαβὸν τῆς εὐαγγελικῆς ἀληθείας τὸ φῶς, Πέτρου τοῦ ἀποστόλου σημείοις ἐκεῖ κυρώσαντος τὸν λόγον, θρόνος ἄλλος ἠγέρθη Χριστῷ, Εὐρώπης ἁπάσης ὑπερκείμενος· κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον καὶ Αἴγυπτος πλάνην ἀποσεισαμένη τὴν πολύθεον, καὶ τὰς αὐγὰς δεξαμένη τῆς θεογνωσίας, Μάρκον τὸν εὐαγγελιστὴν καὶ ἀπόστολον πλουτήσασα τῆς ἑαυτῆς ἐπιστροφῆς προστάτην καὶ συνεργὸν τῇ θείᾳ χάριτι, θρόνου ἀξιοῦται κατὰ τὴν μεγαλόπολιν Ἀλεξάνδρειαν πατριαρχικοῦ, Λιβύης, Αἰθιοπίας, καὶ πάσης προκαθημένου τῆς Αἰγύπτου: μετὰ δὲ τοὺς χρόνους ἐκείνους, Κωνσταντῖνος ὁ μέγας ὁ Ῥωμαίων καὶ πάσης οἰκουμένης αὐτοκράτωρ, τῷ Σωτῆρι μαθητευθεὶς, τόν τε τῆς ἑαυτοῦ σωτηρίας ἀρχηγὸν τὸν Ῥώμης ἐπίσκοπον βασιλείοις κατασολίσας λαμπρότητι, καὶ αὐτὸ παραδῶν τῆς ἀρχῆς τὸ διάδημα, τῆς Ῥώμης ἀπαίρει, παραχωρῶν τῷ πατρὶ τῆς ἀρχῆς· ἄλλοσε δὲ τραπεὶς οἰκοδομήσων πόλιν τῆς οἰκουμένης βασιλεύουσαν θεόθεν ὁδηγούμενος, εἰς Βυζάντιον καταντᾷ, καὶ πόλιν ἀνίστησι τῆς Ῥωμαίων ἀρχῆς, τουτέστι τῆς οἰκουμένης πάσης κατάλληλον ἀνακτόρειον· κοσμεῖται δὲ ταῖς βασιλείαις ἁρμοζόντως δόξαις καὶ ἐκκλησιαστικῇ μεγαλοπρεπείᾳ, συνοδικῇ τῶν πατέρων ὁροθεσίᾳ· φασὶ γὰρ οἱ ἐν Κωνσταντινουπόλει ἐν τρίτῳ κανόνι· "Τὸν μέν τοι Κωνσταντινουπόλεως ἔχειν τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν τῆς Ῥώμης ἐπίσκοπον, διὰ τὸ εἶναι αὐτὴν νέαν Ῥώμην· καὶ τούτοις συνῳδὰ οἱ ἐν Χαλκηδόνι ἐν εἰκοστῷ ὀγδόῳ ταῦτα φασί· "Πανταχοῦ τοῖς τῶν ἁγίων ὅροις ἑπόμενοι, καὶ τὸν ἀρτίως ἀναγνωσθέντα τῶν ἑκατὸν πεντήκοντα θεοφιλεστάτων ἐπισκόπων τῶν συναχθέντων ἐπὶ τοῦ τῆς εὐσεβοῦς μνήμης μεγάλου Θεοδοσίου τοῦ γενομένου βασιλέως ἐν τῇ βασιλίδι Κωνσταντινουπόλει νέᾳ Ῥώμῃ, γνωρίζοντες τὰ αὐτὰ καὶ ἡμεῖς, ὁρίζομέν τε καὶ ψηφιζόμεθα περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης Ἐκκλησίας τῆς αὐτῆς Κωνσταντινουπόλεως νέας Ῥώμης· καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, οἱ πατέρες εἰκότως ἀποδεδώκασι τὰ πρεσβεῖα· καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ ἑκατὸν πεντήκοντα θεοφιλέστατοι ἐπίσκοποι, τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῷ τῆς νέας Ῥώμης ἁγιωτάτῳ θρόνῳ, εὐλόγως κρίναντες τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν, καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων τῇ πρεσβυτέρᾳ βασιλίδι Ῥώμῃ, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασι, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν· καὶ ὥστε τοὺς τῆς Ποντικῆς καὶ τῆς Ἀσιανῆς καὶ τῆς Θρακικῆς διοικήσεως μητροπολίτας μόνους, ἔτι καὶ τοὺς ἐν τοῖς βαρβαρικοῖς ἐπισκόπους τῶν προειρημένων διοικήσεων χειροτονεῖσθαι ὑπὸ τοῦ προειρημένου ἁγιωτάτου θρόνου τῆς κατὰ Κωνσταν-

πινούπολιν

Συνοδ. β.

Συνοδ. δ.

πόλιν ἁγιωτάτης Ἐκκλησίας· δηλαδὴ ἑκάστου μητροπολίτου τῶν προειρημένων διοικήσεων μετὰ τῶν τῆς ἐπαρχίας ἐπισκόπων χειροτονοῦντος τοὺς τῆς ἐπαρχίας ἐπισκόπους, καθὼς τοῖς θείοις κανόσι διηγόρευται· χειροτονεῖσθαι δὲ καθὼς εἴρηται τοὺς μητροπολίτας τῶν προειρημένων διοικήσεων, παρὰ τοῦ Κωνσταντινουπόλεως ἐπισκόπου, ψηφισμάτων συμφώνων κατὰ τὸ ἔθος γινομένων καὶ ἐφ᾽ αὐτὸν ἀναφερομένων. Αὕτη ἡ τάξις τοῖς πατράσιν ἔδοξεν ἁρμόδιος καὶ πρέπουσα τῇ Χριστοῦ Ἐκκλησίᾳ. Τοῦτον τὸν τρόπον τὰ πρεσβεῖα διωρίσαντο, τιμῆς δηλονότι πρεσβεῖα, οὐ μήν τοι αὐθεντίας τυραννικῆς νόμοις φέρειν ἢ ἀκυροῦν· οὐ παρὰ τὸ εὐαγγέλιον, ἀλλ᾽ ἤδη καὶ κατὰ τοῦ εὐαγγελίου τοῦ σωτῆρος Χριστοῦ· οἷα κατὰ μικρὸν σφετεριζόμενος ὁ Ῥώμης τῆς πρεσβυτέρας νῦν εἰς ὕψος ἦρεν· ὅπου γε οὐδὲ τὰς ἐμπιπτούσας τῶν προέδρων τῆς Ἐκκλησίας ἀμφισβητήσεις διακρίνειν αὐτῷ συγκεχώρηται· τὰς μὲν γὰρ διαποντίους οἱ ἐν Ἀφρικῇ συνελθόντες ἐκώλυσαν ἐς Ῥώμην διαπερᾶν· τὰς δὲ ἐγχωρίους ἑκάστης Ἐκκλησίας, οἱ ἐν Χαλκηδόνι τῷ Κωνσταντινουπόλεως ἀνέθηκαν, ἐν δεκάτῳ ἑβδόμῳ κανόνι ταῦτα φάσκοντες· Ἐξεῖναι τοῖς λέγουσιν ἠδικεῖσθαι περὶ τούτων κινεῖν παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας· εἰ δέ τις ἀδικοῖτο παρὰ τοῦ ἰδίου ἐπισκόπου, ἢ μητροπολίτου, παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως ἢ τῷ Κωνσταντινουπόλεως θρόνῳ δικαζέσθω καθὰ προείρηται. Τοῦτο δὲ ἐστὶ τὸ ἀνωτάτω ἀξίωμα, περὶ οὗ μεταξὺ τῶν δύο θρόνων τῆς παλαιᾶς τε καὶ νέας Ῥώμης, ἡ ἄσπονδος ἀνέφυ φιλονεικία, ἡ κυκῶσα τὸ πᾶν· τοσοῦτον γὰρ ἡ πρεσβυτέρα Ῥώμη τὸ μῆλον τοῦτο τῆς ἔριδος νοσφίσασθαι ἐφιλοτιμήθη, ὥστε οὐ τιμῆς μόνον ὑπεροχὴν καὶ προκαθεδρίαν, ἢ διακρίσεως, ἀλλὰ καὶ νομοθεσίας, καὶ νόμων ἀθέτησιν, ἑαυτῇ καθαρπάξασα τὴν Ἐκκλησίαν πᾶσαν ἠνδραποδίσατο, καὶ τὸ τοῦ εὐαγγελίου ὕψος τῇ ἑαυτῆς καθυπέβαλεν ἀρχῇ. Ἔοικε δὲ τοὺς πατέρας τῆς φιλονεικίας ταύτης ἀπαλλάξαι τὰς δύο ταύτας φιλοτιμουμένους Ἐκκλησίας, τῷ τῆς Ἀλεξανδρείας θρόνῳ προφάσεως εἰλημμένοι εὐλόγου τὸ κριτάτον τῆς οἰκουμένης προσάψασθαι· οὐκ ἄθεόν τι ἢ ἀντίθεον δόγμα, (ὡς φατὲ) ἀλλ᾽ εἰρηνικόν τε καὶ φιλόθεον· οὐ γὰρ κριτήν τινα παρὰ τὸν Θεὸν ἄλλον καθιδρύουσιν, ἀλλὰ ὑπὸ Θεόν, καὶ ὑπὸ Θεοῦ, καὶ ὑπὲρ Θεοῦ ἀγωνιζόμενον καὶ ὑπερασπίζοντα τοῦ δικαίου· οὐδὲ γὰρ οὐδὲ ἄμοι ἢ θεοὶ κεκλήμεθα, ὡς θεοὶ ἄλλοι πέρα Θεοῦ, ἢ παρὰ Θεὸν τὸν φιλάνθρωπον, ἢ ὅλως ἀλλαχόθεν ἄλλοθεν τὴν ἁγιωσύνην κεκτημένοι, ἢ παρὰ Θεοῦ, καὶ Θεοῦ φιλανθρωπίᾳ καὶ χάριτι· ἀλλ᾽ οὐδὲ θεοί τινες καὶ λεγόμενοι παρὰ τῇ θείᾳ γραφῇ πρὸς αὐτοῦ τοῦ Θεοῦ, ἤδη καὶ ἀντίθεοι ἢ ὑπέρθεοι· οὐδὲ φῶς τοῦ κόσμου· οὐδὲ υἱοὶ Θεοῦ, ἄλλό τι ἐσμὲν ἢ λεγόμεθα παρὰ τὸ φῶς τὸ ἀληθινὸν καὶ παρὰ τὸν τοῦ Θεοῦ υἱόν· ἐκεῖνο πρὸς ἐκεῖνον διαφέροντες, ὅτι ἐκεῖθεν τε ἔχομεν ὅσπερ ἔχομεν, καὶ χάριτι ἐκείνου ἐσμὲν ὅσπερ φύσει τυγχάνει ὢν ἐκεῖνος· οὔκουν ὑπεραίρεται οὐχ ὑπεραίρεται τοῦ Θεοῦ, ἢ κατὰ Θεοῦ, λεγόμενος ὁ Ἀλεξανδρείας κριτὴς τῆς οἰκουμένης· Χριστοὶ γὰρ πού τινες λέγονται ἐν τῇ θείᾳ γραφῇ, καὶ οὐκ εὐθέως κατὰ Χριστοῦ ὑπεραίρονται. Ὁ δὲ τῶν Ἱεροσολύμων θρόνος, πατριαρχικῷ τετίμηται μὲν ἀξιώματι, μὴ καὶ ἐλαττωθῇ τιμῆς καὶ δόξης ἡ Σιών, ἡ μήτηρ τῶν Ἐκκλησιῶν, ὅθεν ὁ λόγος τοῦ Θεοῦ, ἡ καινὴ διαθήκη, τὸ τῆς χάριτος εὐαγγέλιον, μὴ ἐλαττωθῇ φημί, μὴ ἐλαττωθῇ δόξῃ καὶ τιμῇ τῶν ἄλλων Ἐκκλησιῶν· Ἔσχατον δὲ κεκλήρωκε τόπον, πανσόφως τῶν πατέρων οἰκονομησάντων ταῦτα, μὴ καὶ φανῇ (προτάττοντες τοῦ θρόνου τῶν Ἱεροσολύμων) ἐπίγειος εἶναι ἡ ἀρχὴ καὶ ἡ βασιλεία τοῦ Χριστοῦ. μετέχει τοίνυν τῆς πατριαρχικῆς δόξης ἴσα τῶν ἄλλων θρόνων ὁ τῶν Ἱεροσολύμων, οὐ διὰ τὸ βασιλεύειν τὴν πόλιν ταύτην, ἢ προκαθημένην εἶναι τῆς Ἀσίας, καίπερ τῆς Πα-

Συνόδ. δ.

λαιστίνης

λαισίνης οὖσαν μητρόπολιν, ἀλλὰ διὰ τὸ ἐκεῖσε πεπολιτεῦσθαι τὸν Σωτῆρα Χριστόν, καὶ τὸν ζωοδόχον τάφον ἐκεῖσε διαμένειν, φυλάττοντα τῆς ἡμετέρας σωτηρίας τὰς σφραγῖδας, καὶ τὰ τεκμήρια. Ἀλλὰ ταῦτα μὲν πρὸς τοὺς ἐν σχήματι ἀπορούντων καὶ ζητούντων τὴν τῆς Ἐκκλησίας ἀναμοχλευόντων εἰρήνην τε καὶ κατάστασιν, ἵνα μὴ παρ' ἑαυτοῖς ὦσι φρόνιμοι, καὶ οἱ φάσκοντες εἶναι σοφοί, δικαιοῦντές τε ἑαυτούς, καὶ τῶν ἑτέρων ὡς ἀδίκων κατηγοροῦντες, ἐπιγνώσωσιν ἑαυτοὺς ἐσφαλμένους περὶ τὴν ἀλήθειαν, καὶ τὰ μέγιστα ἀδικοῦντες, καὶ ἑαυτοὺς εἰς θησαυρίζουσι κατάκρισιν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καὶ τὴν τοῦ Θεοῦ Ἐκκλησίαν αὐτὴν παραλυποῦντες καὶ σκανδαλίζοντες. Ταῦτα γὰρ τυχὸν συνοίσει τοῖς ἐθέλουσι συναίσθησίν τε τῶν πεπλημμελημένων λαβεῖν καὶ διόρθωσιν· εἰ δὲ μήγε, ἀλλὰ γοῦν ἀσφάλειαν τοῖς ὀρθοποροῦσιν ἡμῖν, καὶ παράκλησιν· μόνοι γὰρ (κατὰ τὸ θεῖον λόγιον) οἱ τὰ φαῦλα πράσσοντες μισοῦσι τὸ φῶς, τὴν θείαν δηλαδὴ διδασκαλίαν τῆς ἀληθείας καὶ δικαιοσύνης συνήγορον· ἣν μισοῦσιν οἱ τὰ φαῦλα πράττοντες· οἱ γὰρ ἔλεγχοι τοῖς παραβαίνουσι μώλωπες. Ταῦτα μὲν οὖν ἀρκέτω πρὸς τοὺς ἀντιπεπρεσμένους καὶ πάντα κινοῦντας λίθον, ἵνα τὴν τῆς Ἐκκλησίας εἰρήνην διαφθείρωσιν· οἱ δέ γε Θεοῦ παῖδες, οἱ τῷ θείῳ πνεύματι ἀγόμενοι, οἱ μὴ φρονοῦντες τὰ τῆς σαρκός, οἱ ἐν σαρκὶ οὐ κατὰ σάρκα, οἱ προθύμως ἔχουσι γίνεσθαι τοῖς τὰ πάντα, ἵνα τοὺς πάντας (κατὰ Παῦλον) κερδήσωσιν· οἱ καὶ ἄλλως περὶ τούτου διανοοῦνται· καὶ ἔστι τούτοις ἔστι τις τούτων τῶν ἀπορειῶν ἢ ἐπιχειρῶν ἀνατροπὴ καὶ διάλυσις· ὡς ἐμὲ μέντοι φάναι, ῥᾳδία τε καὶ χρησιμωτάτη καὶ θεοφιλεστέρα. Εἰ γὰρ τοῦτο ἐστὶ τὸ τὴν Ἐκκλησίαν ταράττον, ἐμβάλλον εἰς ἀπορείας, καὶ σκανδαλίζον (εἰπεῖν εὐαγγελικῶς) τό τινας εἶναι ἢ λέγεσθαι κριτὰς τῆς οἰκουμένης, οἰκουμενικοὺς πατριάρχας (ταῦτα γὰρ ἄμφω ἡ τοῦ Θεοῦ φιλάνθρωπος πρόνοια ταῖς ἡμετέραις ἐναπέθετο χερσὶν) ἢ κεφαλὴν τῆς Ἐκκλησίας καὶ μόνον βικάριον καὶ ἐπίσκοπον μόνον ἐμπιστευθέντα τὰς κλεῖς καὶ δεσμεῖν, νόμους φέρειν, καὶ ἀθετεῖν καὶ αὐτὸ τὸ εὐαγγέλιον οἷ ἂν βουληθείη μετάγειν· μόνον ὄντα διδάσκαλον, καὶ μόνον ποιμένα· πρὸς ὃν οὐδὲ κατακρημνίζοντα σωρηδὸν εἰς ᾅδου τὰς τῶν ἀνθρώπων ψυχὰς ἀντοφθαλμῆσαι οὐδενὶ τῶν ὅλων τοσύνολον ἔξεστιν· εἰ ταῦτα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ σκανδαλίζει, ἀποθώμεθα τὰ τὴν Ἐκκλησίαν σκανδαλίζοντα, ἵνα μὴ τὴν Ἐκκλησίαν ὑπὲρ ἧς ἀπέθανεν ὁ Χριστός, σκανδαλίζωμεν· εἴημεν δοῦλοι, εἰς εἰρήνην τῆς Ἐκκλησίας καὶ ὁμόνοιαν, καὶ Χριστῷ συμβασιλεύσωμεν· εἴημεν ἐπίσκοποι εἰς οἰκοδομὴν τῆς Ἐκκλησίας· εἴημεν πατριάρχαι, ἵνα τὴν Ἐκκλησίαν, ἢ φαιδρυνώμεθα δόξῃ καὶ τιμῇ, ἢ φιλοτιμήσωμεν τὴν ἑαυτῶν φιλοδοξίαν. Ἰδού σοι λύσις ἁπλῆ καὶ ἀπερίεργος πᾶσαν περιελοῦσα στάσιν καὶ φιλονεικίαν ἀποδιδοῦσαν Ἐκκλησίας Χριστοῦ, καὶ συμβιβάζουσαν εἰς σύμπνοιαν ἀδελφικήν. Εἰ δὲ ἡ ἐκκλησιαστικὴ εὐταξία ἱεραρχίαν τινὰ ζητεῖ συντεταγμένην, σώματί τινι εὐπήκτῳ ἀναλογοῦσαν, καὶ μέλη καὶ κεφαλὴν κεκτημένῳ, εἴημεν σῶμα καὶ μέλη ἐκ μέρους, ἔστω καθολικὴ κεφαλὴ ὁ Χριστός, ὃν ἔδωκε (Παύλου φωνή) ὑπὲρ πάντα κεφαλὴν τῇ Ἐκκλησίᾳ ὁ πατήρ· (Ἐφεσ. α.) ἀλλήλων δὲ (ὡς φησι Παῦλος) ἀλλήλων μέλη· ἐχέτω ἡ τοῦ Χριστοῦ Ἐκκλησία κατὰ τὸν ἀποστολικὸν τύπον τοὺς προεστῶτας ἑκάστου ἔθνους, καὶ τούτους ὡς κεφαλὴν ἡγείτω· ἡ δὲ καθόλου Ἐκκλησία, μόνον Χριστὸν ἡγείσθω κεφαλὴν τῷ καθόλου σώματι ἀναλογοῦσαν· ἢ σώζειν ὡς κεφαλὴν μέλεσιν. Ὅπου γάρ φησιν εἰσὶ δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ (Ματθ. ιη.) ἐμῷ ὀνόματι, ἐκεῖ ἔσομαι ἐν μέσῳ αὐτῶν· ἀλλὰ πάλαι μὲν οὕτω· ἐν δὲ τῇ καινῇ πολιτείᾳ, εἰπὲ φησὶ τῇ Ἐκκλησίᾳ· (Ματθ. ιε.) οἱ δὲ κανόνες τῶν θεοφόρων πατέρων δικάζεσθαι φασὶ

παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας, ἢ παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως, ἢ τῷ Κωνσταντινουπόλεως θρόνῳ· θρόνῳ φασίν, οὐ γὰρ ἑνὶ προσώπῳ τὸ ἀσφαλὲς περιορίζουσιν οἱ πατέρες, ὡς νῦν φαντάζεται ὁ Ῥώμης τὴν σύμπασαν Ἐκκλησίαν σφαλῆναι τῆς ἀληθείας, οἰόμενος εἶναι ἐνδεχόμενον· μονώτατον δὲ αὐτὸν τῶν ἀδυνάτων εἶναι παρακρουσθῆναι ποτέ· ὁρῶμεν δὲ καὶ τοὺς ἱεροὺς ἀποστόλους, οὐκ ἄλλως πολιτευσαμένους, ἀλλὰ κοινῇ σκέψει διαλύοντας τὰς ζητήσεις· τοῦτον τὸν τρόπον τὸν πατρικὸν ὡς ἐδιδάχθημεν, καὶ πάλαι διὰ τύπων, καὶ διὰ τῆς ἀληθείας, ἱεροπρεπῶς διατηροῦμεν τὴν Ἐκκλησίαν ἀντιπραττόμενοι ταῖς τῶν ἀμφισβητήσεων ἐπιφοραῖς, καὶ τὰς τῆς Ἐκκλησίας τρικυμίας καταπραΰνοντες· καὶ ταῦτα μὲν περὶ τοῦ Πρώτου.

Ἀπορία β. Τὸν δὲ τύπον τῆς ἐπισκοπῆς (ὅπερ ἐν δευτέρῳ ζητεῖται) τεθαύμακα οὕτως εἶναι παρ' ὑμῖν ἐν ἀρχῇ τὰ πράγματα, ὥστε περὶ τούτου ἀμφιγνοεῖν· ὁ γὰρ ἐπίσκοπος τόπον ἐπέχων καὶ τύπον Χριστοῦ, διακρίνει μὲν αὐτὸς τὰ πάντα· ἐν δὲ ταῖς δημοσίαις ἀγωγαῖς συμπαρόντας ἔχων καὶ τοὺς τοῦ κλήρου τοῦ ἱεροῦ· διακρίνει δὲ κατὰ τοὺς ἱεροὺς θεσμούς, καὶ τοῦτο μόνον ἀγωνιζόμενος, πρὸς τὸν κανόνα τῶν θείων νόμων διευθύνειν τὰς ὑποθέσεις· οἱ δὲ τοῦ κλήρου πρὸς ἀλλήλους ἔχουσι τινὰ διάκρισιν ἐν τάξει· πεντάδες γὰρ διετάχθησαν, ταῖς πεντάσιν ἴσως παραβαλλόμεναι τῶν τοῦ σώματος αἰσθήσεων, δι' ὧν καὶ ζῶμεν καὶ κινούμεθα καὶ τὰ τοῦ νοὸς εἰς ἔργον ἐξάγομεν· ἑκάστη δὲ τῶν πεντάδων τοὺς ἰδίους κέκτηται.

α. Ἔχει δὲ ἡ πρώτη πεντάς, τὸν μέγαν οἰκονόμον· τὸν μέγαν σακελλάριον· τὸν μέγαν σκευοφύλακα· τὸν μέγαν χαρτοφύλακα· τὸν σακελλίου· τὸν πρωτέκδικον. β. Ἡ δευτέρα, τὸν νομοφύλακα· τὸν πρωτονοτάριον· τὸν μέγαν πρωτοπαπᾶν· τὸν λογοθέτην· τὸν καστρήσιον· τὸν πρωτοπαπᾶν· τὸν ῥεφερενδάριον· καὶ ὑπομνηματογράφον. γ. Ἡ δὲ τρίτη, τὸν ἱερομνήμονα· τὸν ὑπομιμνήσκοντα· τὸν διδάσκαλον τοῦ εὐαγγελίου· τὸν διδάσκαλον τοῦ ἀποστόλου· τὸν διδάσκαλον τοῦ ψαλτῆρος. δ. Ἡ δὲ τετάρτη τὸν ἐπὶ τῶν γονάτων· τὸν ἐπὶ τῶν κρίσεων· τὸν ἐπὶ τῶν δεήσεων· τὸν ἐπὶ τῆς ἱερᾶς καταστάσεως· τὸν ἐπὶ τῶν σεκρέτων· ἔχει καὶ ἕτερα, ἄρχοντα τῶν μοναστηρίων· ἄρχοντα τῶν ἐκκλησιῶν· ἄρχοντα τοῦ εὐαγγελίου· ἄρχοντα τῶν ἀντιμηνσίων. καὶ τὰ λοιπά.

Ἀπορία γ. Τρίτην ὑπέθου περὶ τῆς ἀδελφότητος, πόθεν ἡ ἀδελφοσύνη, καὶ τίς διέταξε ταύτην τὴν ἀδελφοσύνην; Αὕτη οὖν πᾶσι τοῖς ἐπιγραφομένοις τὸ τοῦ κυρίου ὄνομα, κοινόν ἐστι χρῆμα· εἰ γὰρ ἑνὸς πατρὸς γινώμεθα παῖδες, τῇ τοῦ λουτροῦ τῆς παλιγγενεσίας καὶ ἀνακαινώσεως δυνάμει, ἀλλήλων πάντως ἐσμὲν ἀδελφοί· οἶδε καὶ γέννησις, καὶ ἀναγέννησις ἀδελφοὺς ποιεῖν, καὶ διάθεσις ἀγάπης· ὥσπερ οὖν ἡ τῆς ἀναγεννήσεως χάρις οὐκ ἀναιρεῖ, ἀλλ' ἀναπληροῖ τὴν τῆς φύσεως γέννησιν, καὶ εἰς τελειότητα προσάγει· οὕτως ἐν τοῖς ἀναγεγεννημένοις ἐπερεισμένη τῆς ἀγάπης ἡ ἀκτίς, τὸ τέλειον ἐργάζεται τοῦ χρήματος. δεῖ γὰρ τῇ ἄνωθεν φερομένῃ δωρεᾷ καὶ χάριτι, καὶ τὰ ἡμέτερα συνεισφέρειν· ἐπὶ γὰρ τούτῳ δίδωσιν ὁ φιλάνθρωπος Θεὸς τὴν χάριν ἵνα ἐνεργοὺς, ἥκιστα δ' ἀργοὺς ἀπεργάσηται· ἵνα οὖν οἱ τὴν χάριν δεξάμενοι καὶ δωρεὰν τοῦ φιλοδώρου Θεοῦ τὰ τῆς ἀγάπης ἐνεργῶμεν, συναγόμεθά που τινὲς ἐπὶ ῥηταῖς τισι συνθήκαις οὐκ ἀπᾳδούσαις τῶν θείων ἐντολῶν, ἀλλὰ τοῖς θείοις συμπλεούσαις προστάγμασι· καὶ τοῦτο ἐστὶ τὸ τῆς ἀδελφότητος σύστημα. αὕτη ἐστὶν ἡ ἀδελφότης, συλλογή τις φιλοθέων ἀνδρῶν ἐπὶ συνθήκαις τισὶ συμφωνησάντων, ὥστε φυλάττεσθαι τὰς τοῦ κυρίου ἐντολάς, καὶ τὸ κοινὸν ὠφελεῖσθαι τῆς ἀνθρωπότητος. ὥσπερ δὴ καὶ οἱ λεγόμενοι τοῦ ἁγίου Σπυρίδωνος, περὶ ἧς καὶ χαίρετε, οὐχ ὅτι τὸν ἅγιον Σπυρίδωνα;

Σπυρίδωνα, ἢ τινὰ τῶν ἁγίων ὧν ἐπιγράφονται κέκτηνται σωτῆρα ἢ πατέρα· οὕτως ἁπλῶς, ἀλλ' ὅτι πρὸς τὴν ἐκείνου μίμησιν ἀφορῶντες σὺν τῷ τῆς πίστεως εἰλικρινεῖ καὶ ζέοντι τὸ πρὸς τὸν πλησίον φίλτρον ἐνδείκνυσθαι, τῶν πτωχῶν ἐπιμελεῖσθαι συνεφώνησαν, καὶ τῶν ξένων καὶ ἀστέγων συνεισφέροντες ἕκαστος καθ' ἔτος, ὃ καὶ συνωμολόγησεν· ἅπερ τῆς εὐαγγελικῆς εἴρηται διδασκαλίας. Ταῦτα δὲ ἐκφέρεται σαφέστερον ἐν οἷς συνεγράψαμεν ὅτε τὴν ἀρχὴν ἡ τοῦ ἁγίου Σπυρίδωνος συνεκροτήθη ἀδελφότης, τὴν παρ' ἡμῶν παρηγμένην εἰς εὐπρεπεστάτην μόρφωσιν.

Τὸ δὲ τέταρτον τῆς ἀπορίας, μάλιστα τῆς ἀτοπίας, οὐδ' ἐρωτᾶν ἔδει, εἰ δεῖ ἄνθρωπον Ἀπορία δ.
κοσμικὸν τὸ τοῦ διδάσκειν ἀναλαμβάνειν ἀξίωμα· οὐδὲ ἐκ τῆς ἡλικίας ἢ πολιτείας κεκτημένον τὸ ἀξιόπιστον· σκεπτέον γὰρ οἷος ἦν Ἰωάννης ἀρξάμενος τοῦ κηρύγματος, ὡς ἦν ἐν ταῖς ἐρήμοις ἄχρι τῆς ἀναδείξεως αὐτοῦ πρὸς Ἰσραὴλ ἐκ κοιλίας μητρὸς, χάριν (οὕτω κεχειροτονημένος) πλουτήσας τοῦ πνεύματος, ὡς καὶ πρόπαλαι Ἱερεμίας, ὁ δὲ Ἡσαΐας καὶ οἱ λοιποὶ ἐκεῖθεν ἄρχονται ἐκ τῶν θείων ἐμφάσεων· ὅρασις, λέγοντες, ἢ λόγος κυρίου, καὶ τὰ ἑξῆς. οἷόν τι παρέδειξεν ὁ Σωτὴρ, οὐδ' αὐτὸς τὸ κηρύττειν ἐπιχειρήσας πρὸ τελείας πολιτείας καὶ ἡλικίας, ἄκραν ἄσκησιν ἐν τῇ ἐρήμῳ καὶ ἀγῶνας ἀντλήσας, οἵους τὴν ὄντως ἀνθρωπίνην φύσιν ἐλέγξαι, καὶ τελειῶσαι· σκόπει δὲ ποταποὺς ἀποστέλλει τοὺς μαθητὰς εἰς τὸ κήρυγμα, λαβόντας πνεῦμα ἅγιον διὰ τοῦ φυσήματος, καὶ τέλος πυρίνων γλωσσῶν μεμοιραμένους· ἀλλὰ καὶ συνελόντα εἰπεῖν, οἱ προβάτων ἐπέχοντες τόπον, πῶς ποιμένων ἐναρμονίως ἀναπληρώσουσι τάξιν; μάλιστά γε ἐν ταῖς καθ' ἡμᾶς ἡμέραις ταῖς πονηραῖς· ὅτε μόλις ἡλικίᾳ καὶ πολιτείᾳ καὶ σοφίᾳ διαπρεπόντων ἀκούομεν ἡδέως· Μὴ πολλοὶ (φησὶν "
ἡ θεία γραφὴ) μὴ πολλοὶ διδάσκαλοι γίνεσθε· μὴ πάντες τῷ ἑτοιμοτάτῳ χρώμεθα ὀργάνῳ, τῇ γλώττῃ δηλαδὴ, ὥς που ἡ Γρηγορίου ἠγανάκτησε φωνή· εἰ δὲ καὶ ἱερέων ἢ ἀρχιερέων καθάπτεται, ἐντεῦθεν ἔστιν ἰδεῖν τὸ ἐκμελὲς τοῦ πράγματος· μὴ γὰρ μέμφεσθαι τοῖς ἀμελῶς περιπατοῦσιν (ἵνα μή τι σκληρότερον εἴπω) θέμις οὐδαμῶς· πράττειν δὲ τοῦτο τοὺς λαϊκοὺς, ἴσον ἐστὶ τῇ κεφαλῇ καίπερ ἀλγούσῃ οἱ πόδες ἀντεπαιρόμενοι, ἢ τὴν ἀσθένειαν ἐλέγχωσιν, ἢ περὶ θεραπείας φιλοσοφῶσι· πρὸς γὰρ τῷ τῆς κεφαλῆς ἄλγει, καὶ τῷ ἀταξίας περιπλεκόμεθα ἐγκλήματι· μοῖραν ἔχοντι κακίας οὐ τὴν ἐσχάτην.

Ἕνα δὲ μητροπολίτην (ὅπερ ἐστὶ τὸ πέμπτον τῶν ἀπορουμένων) δύο μητροπόλεων ἐξουσιά- Ἀπορία ε.
ζειν, καὶ ἄθεσμον καὶ ἀπάνθρωπον· εἰ γὰρ δόξης ὀρέγεται, δυσκόλως κατορθωθήσεται αὐτῷ πλείστοις ὑπηρετοῦντα καὶ εἰς πολλὰ καὶ μεγάλα, μὴ παρεκτραπῆναι τοῦ δέοντος, καὶ προσκρούειν πολλοῖς, καὶ δὴ καὶ Θεῷ· εἰ δὲ κέρδους καὶ ἐμπαθείας, ἐλεεινὸν, ψυχὴ τηλικούτου ἀκόρεστος· εἰ δὲ κατὰ Θεὸν βούλεται πράττειν, κίνδυνος πολλοῖς· ὁ δὲ νόμος ῥητῶς ἀπείργει τῆς τοιαύτης ἐπιχειρήσεως ἅπαντας· πολλαχοῦ ἀπαγορεύων δυσὶ καθίσασθαι ἕνα τινὰ Ἐκκλησίαις, ἢ ἐπιπηδᾶν ἀφ' ἑτέρας εἰς ἑτέραν, κἂν καὶ ὑπὸ πολλῶν παρακαλούμενον· μόλις γὰρ ἐπὶ μεγάλῳ τῷ τῆς Ἐκκλησίας χρησίμῳ τότε ἥκειν προσήκει, καὶ ταῖς κοιναῖς παρακλήσεσιν· εἰ δὲ ἑτέρα ἡ μητρόπολις Κνέβου, ἑτέρα δὲ Γαλίτζης, ὑποτοπάζω ὑμᾶς εἰδέναι σαφέστερον, τῶν προαγόντων μεμνημένους καιρῶν, καὶ πῶς πρόπαλαι διῳκοῦντο αἱ τοιαῦται ἐπαρχίαι· ταῦτα γὰρ παρ' ὑμῖν τὰ τῆς καθ' ὑμᾶς Ἐκκλησίας τακτικὰ περιέχειν ἀνάγκη πᾶσα, ἑκάστης τε ἐννοίας τοὺς ὅρους καὶ τὰ πρεσβεῖα.

Τὸ δὲ περὶ [illegible] (τὸ ἔσχατον δηλαδὴ τῶν ἀπορουμένων) φανερὸν ὡς ἐστὶ τῆς Ἐκ- Ἀπορία ϛ.
κλησίας παράδοσις· εἰ δὲ παράδοσις, ἀρκεῖ τοῦτο ὅτι παράδοσις, καὶ μὴ πολυπραγμονῶμεν·

 ἐν

ἐν καὶ τοῦτο ἀποστολικὸν κατόρθωμα, τὸ αἰχμαλωτίζειν ἑαυτῶν τὰ νοήματα πρὸς καθαίρεσιν ὀχυρωμάτων λογομαχίας ἀπάτης, οὐ σαρκικοῖς ὅπλοις, ἀλλὰ ταῖς τοῦ πνεύματος ἐνεργείαις· οὐ τῇ ἡμετέρᾳ συνέσει τε καὶ σοφίᾳ, ἀλλὰ τῇ τοῦ πνεύματος κρατοῦντες τὴν τῆς

Κορινθ. α. κεφ. ιδ.

ἀληθείας ἐπίγνωσιν· φυλάξωμεν πρόσταγμα θεολογικόν. Πνεύματα φησὶ προφητῶν προφήταις ὑποτάσσεται· ταῖς τῶν πατέρων παραδόσεσιν ὑποτάξωμεν τὸ καθ' ἡμᾶς φρόνημα, ὅπουγε μάλιστα τὰ τῆς εὐσεβείας δόγματα, ἥκιστα παραλυπούμενα, καὶ τὴν εἰς ἀλλήλους ἀγάπην διαφυλάττομεν· ἧς κρατούσης, τὸ τῆς ἀνθρωπίνης φιλονεικίας πρόσεργον ἀφανίζεται, τὸ τὰς Ἐκκλησίας Χριστοῦ σκανδαλίζον. Εὗρον οὖν τὸ σταυροπήγιον οἱ πατέρες, οὐκ εἰς στάσιν, ἀλλ' εἰς σύστασιν τῶν Ἐκκλησιῶν· ἵνα γὰρ ἡ Ἐκκλησία ἡ μεγάλη ἐν ἐπαρχίᾳ ἢ παροικίᾳ τῇ οἱῳδήτινι ἔχῃ τι μνημόσυνον ἄσβεστον, ἢ καὶ μικράν τινα βοήθειαν (ὅσπερ σύνδεσμός ἐστι πρὸς τὴν μητέρα τῶν θυγατέρων) ἐπενοήθη τὰ σταυροπήγια, οὐκ εἰς ἀναίρεσιν ἢ ὅλως βλάβην, ἢ καὶ ἀτιμίας τοῦ κατὰ χώραν ἐπισκόπου, οὗ τῆς ἐπαρχίας ἐξήρηται τὸ σταυροπήγιον· ἀλλ' εἰς ἀνάρρυσιν καὶ βοήθειαν τοῦ πατριαρχικοῦ θρόνου· ὅθεν καὶ ὁ ἐπίσκοπος πέμπεται, καὶ ὅθεν ἔχει λαβὼν καὶ τὴν ἀξίαν καὶ τὴν ἐξουσίαν τῆς ἐπαρχίας· ἀλλὰ ταῦτα πάντα οἰκοδομεῖ μὲν ἀγάπη, συγχεῖ δὲ καὶ ἀνακυκᾷ φιλοδοξία καὶ φιλοκέρδεια. τὴν οὖν

Κορινθ. α. κεφαλ. ιγ.

ἀγάπην ἀνακαλέσαντες ἐγκωβώσωμεν, τὴν πάντα (κατὰ τὸν ἀπόστολον) στέγουσαν, πάντα ὑπομένουσαν, καὶ μὴ ἀσχημονοῦσαν· τὴν δὲ αἰσχροκέρδειαν καὶ κενοδοξίαν, τὰς τῶν σκανδάλων μητέρας, τῶν ἱερῶν ἀποδιοπομπήσωμεν συλλόγων, ἐν Χριστῷ Ἰησοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν πατρὶ καὶ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ἐν Κωνσταντινουπόλει ,ζρε.

Τῷ ἱερωτάτῳ Μητροπολίτῃ, σὺν τοῖς εὐλαβεστάτοις κληρικοῖς, εὐγενεστάτοις ἄρχουσι, καὶ ἁπαξάπαντι τῷ φιλοχρίστῳ καὶ φιλοθέῳ πληρώματι τῶν ὀρθοδόξων τοῖς ἐν Χίῳ τῇ εὐλογημένῃ καὶ περιφανεῖ νήσῳ ἐν Κυρίῳ περιποθήτοις, χάριν ἔλεος καὶ εἰρήνην παρὰ Κυρίου.

Μάρκ. η.

Ὕπαγε ὀπίσω μου σατανᾶ (εἶπεν ὁ Σωτὴρ τῷ Πέτρῳ ποτὲ) τὸν διὰ Πέτρου τὴν πεῖραν ἐπηρεάζειν, καὶ διὰ τῆς ἐν προσχήματι φιλανθρωπίας, τὸ τῆς φιλανθρωπίας μυστήριον ἀναχαιτίσαι ἐπιχειροῦντι, μάλαγ' ἐν δίκῃ ἐπιτιμῶν· τοῦ σατανᾶ τὰς ἐνέδρας καὶ πανουργίας εἰδὼς ὁ Παῦλος, καὶ ὅτι σκότος ὢν εἰς φωτὸς ἄγγελον μεταμορφοῦται, διὰ τῆς χρηστολογίας, καὶ αὐτῆς γε τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, ἀνατρέψαι τὰς διανοίας τῶν ἀκεραιοτέρων κατεπειγόμενος, προαναφωνεῖ, Βλέπετε τοὺς

Φιλιπ. γ.

κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας· σαίνουσι γὰρ ὡς κύνες λύκοι ὄντες, ἐργάζονται δὲ οὐ Χριστῷ τὸν τοῦ Χριστοῦ ἀμπελῶνα, ἀλλὰ σφίσιν αὐτοῖς τὴν κληρονομίαν κατασχεῖν μελετῶντες, καὶ αὐτὸν Χριστὸν τοῦ ἀμπελῶνος ἐκβάλλουσιν, ἀπολέσαι (τὸ εἰς αὐτοὺς ἧκον) φιλονεικοῦντες· τὸν Χριστὸν γὰρ αὐτὸν διώκουσιν (ὡς αὐτός φησιν ὁ Χριστὸς) οἱ τοῦ Χριστοῦ σῶμα (τὴν Ἐκκλησίαν Χριστοῦ φημὶ) διώκοντες, τοσούτῳ λυμαντικώτεροι, ὅσῳ δυσφυλακτότεροι

τῷ τῆς ἀγάπης καὶ χρηστότητος προσωπείῳ τὸν ἰὸν ὑποκρύπτοντες· διὰ τοῦτο γὰρ καὶ ὁ Σωτὴρ προέλεγεν, ὡς Ἐλεύσονται πολλοὶ ἐν τῷ αὐτοῦ ὀνόματι ἐν ἐνδύμασι προβάτων, [Ματθ. κδ.] ἔσωθεν ὄντες ἅρπαγες λύκοι· ἀλλὰ τίς ὁ τοῦ λόγου σκοπός; Εἰσί τινες οἱ δῆθεν τοῦ μακαρίου Πέτρου εἶναι βουλόμενοι μαθηταί· κατὰ τοῦτο τυχὸν καὶ μόνον πτείζοντες, ὅτι ἠπάτηται (εἰ καὶ μὴ τὸν αὐτὸν τρόπον τῷ μακαρίῳ Πέτρῳ) τὴν γε ἀγάπην τὴν διὰ παθημάτων δοκιμαζομένην ἀγνοοῦντες, καὶ τὴν κακουχουμένην κατὰ Χριστὸν καὶ διὰ Χριστὸν Χριστοῦ Ἐκκλησίαν ἀκαίρως οἰκτείροντες (ἢ κυριώτερον εἰπεῖν) οἰκτείρειν σχηματιζόμενοι, ἀνατρέψαι φιλοτιμούμενοι τὸ τῆς Ἐκκλησίας γνήσιον· φάσκοντος γὰρ τοῖς οἰκείοις τοῦ Σωτῆρος, Ὅτι ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε, καὶ τὸν σταυρὸν ἆραι τοὺς αὐτῷ προαιρουμένους ἀκολουθεῖν, εἰς αὐτὸν ὡς τύπον ἀφορῶντας καὶ ὑπογραμμόν, οὗτοι τῷ Χριστῷ ἀπεναντίας φρονοῦντες, τὰς τῆς Ἐκκλησίας θλίψεις, καὶ τὸν σταυρόν, τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου, μὴ εἶναι διδάσκουσι τῆς ἀληθοῦς Ἐκκλησίας τεκμήρια καὶ σημεῖα, βασταζούσης καὶ ἀκουούσης [Ἰωάν. ιε.] τῆς σωτηρίου φωνῆς· Εἰ (λέγοντος) ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Εἴπατέ μοι οἱ τοὺς ὀρθοδόξους ἡμᾶς δῆθεν οἰκτείροντες, ἐπὶ ταῖς πολλαῖς τε θλίψεσι καὶ ὑπερβαλλούσαις, διὰ τὰς θλίψεις μὴ εἶναι ἡμᾶς δογματίζετε γνησίους τοῦ Χριστοῦ, δι' ἃς ὁ Χριστὸς τοὺς γνησίους δοκιμάζει καὶ ἀποδέχεται; καὶ πῶς οὐκ ἀντιστρόφως δογματίζετε τῷ Χριστῷ; ἀποβάλλετε τὸν κακὸν οἶκτον ὦ οὗτοι· ἡμεῖς γὰρ μετὰ τοῦ Σωτῆρος χαίρομεν θλιβόμενοι, μετὰ τῶν ἀποστόλων τυπτόμενοι, καὶ διωκόμενοι, οὐ μόνον ἀνεχόμεθα, ἀλλὰ ἐφηδόμεθα· Παῦλος δὲ καὶ ἐνεκαυχᾶτο ταῖς θλίψεσι· καὶ μετὰ τῶν πατέρων κακουχούμενοι, ἐν ἐρημίαις τε πλανώμενοι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς, οὐκ ἀποδεχόμεθα τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος τύχωμεν ἐν τῇ ἀναστάσει χάριτι Θεοῦ φιλανθρωπίᾳ καὶ χάριτι· ἀνταναπληροῦμεν τε τὰ Σωτῆρος παθήματα ἐν τοῖς ἡμετέροις σώμασι· μόνον ἀγχόμεθα οἱ τάλανες, ὅτι τοῖς διηνεκέσιν ἁμαρτήμασι τὸν φιλάνθρωπον παροργίζομεν πατέρα· δι' ἃ καὶ τὰς πατρικὰς καὶ φιλοστόργους μάστιγας ἐπιφέρει· Παιδεύων [Ψαλμ. ριζ.] (γάρ φησιν ἐν Δαβὶδ ἡ Ἐκκλησία) ἐπαίδευσέ με ὁ Κύριος, τῷ δὲ θανάτῳ οὐ παρέδωκέ με· καὶ Παιδεύει οὓς ἀγαπᾷ (Θεοῦ φωνή) μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται· τοὺς γὰρ ἀμοίρους παιδείας, ἧς πάντες μετέσχον οἱ τῶν φιλοθέων παῖδες ἀνδρῶν, οὐχ υἱοὺς ὁ Παῦλος ἐπιγινώσκει· ἀλλ' οἱ τὰς χαμαιζήλους περιφερόμενοι εὐπαθείας, καὶ πρὸς τὰ βλεπόμενα ἐπτοημένοι, δόξας ἐπιγείους, βασιλείας φθειρομένας, βραχὺ γλυκαινούσας εὐδαιμονίας, καὶ διὰ ταύτας εἶναι βουλόμενοι δῆθεν νύμφη τοῦ Χριστοῦ, ταῖς ἡμετέραις κακουχίαις ἀνηλεῶς ἐπιπηδῶσιν· οἷς τί ἂν τις ἀντείποι, εἰ μὴ τὸ τοῦ Παύλου; ὅτι Ἐμοὶ μὴ γένοιτο [Γαλάτ. ς.] καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ· καὶ ἀκολούθως· Συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν· ἀλλ' οὐκ ἄξια τὰ παθήματα [Ῥωμ. η.] τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς· ἀλλὰ τῶν τοιούτων μὲν τὸ τῆς σαρκὸς φρόνημα (οὐ γὰρ φρονοῦσι τὰ τοῦ Θεοῦ) ὡς ποτὲ πρὸς τοιαύτην ἄκαιρον συμπάθειαν εἶπεν ὁ Σωτὴρ (ἀλλὰ τὰ τῶν ἀνθρώπων) ἐξ ὧν πολλαχόθεν ἀποβουκολεῖται τῶν ἱερῶν περιβόλων τοῦ Χριστοῦ, ὡς καὶ ὁ Σωτὴρ τότε τὸν διὰ Πέτρου τὸν ἀφιλάνθρωπον οἶκτον προβαλλόμενον· οὐ γὰρ ἦν, οὐκ ἦν τῆς μακαρίας, καὶ μικρὸν πρότερον μεμακαρισμένης ψυχῆς τὸ κοσμοσωτήριον πάθος ἀναχαιτίσαι) τό γε νῦν ἔχον καθελεῖν ἐάσωμεν· τὰ δὲ βέλη, τὰ κακὰ βέλη τῆς ψυχοφθόρου διδασκαλίας ἀποκρουσώμεθα τῷ τῆς

εὐσεβοῦς πίστεως θυρεῷ, καὶ θεοδμήτῳ μαχαίρᾳ τοῦ πνεύματος, τῷ τμητικῷ λόγῳ καὶ διστόμῳ· κατακόπτωμεν μὲν γὰρ καὶ τὴν κίβδηλον πολιτείαν, τέμωμεν δὲ καὶ τὸ ἀντίθεον φρόνημα.

Ἠσαΐ. ια.

εἰπὼν τῷ πνεύματι τοῦ στόματος τοῦ Θεοῦ, ᾧ τὸν ἀντικείμενον ἀνελεῖν ὁ Κύριος ἐν ταῖς θείαις γραφαῖς ἐπαγγέλλεται· τῷ τοίνυν λόγῳ τῷ ἀνοθεύτῳ τῆς θείας διδαχῆς τὰς γλωσσαλγίας τῶν ἀντεπαιρομένων κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καταστρώσωμεν· δεῖ γὰρ τὴν ἀλήθειαν ὑπερνικᾶν, καὶ πάντων εἶναι φιλτάτην· μάλιστά γε τῆς καθ' ἡμᾶς φιλοσοφίας πρεσβευούσης, Θεὸν εἶναι τὴν ἀλήθειαν· “Ἐγὼ γάρ εἰμι (φησὶν) ἡ ἀλήθεια, συναγωνιζομένοις τοῖς ὑπερασπιζομένοις αὐτῆς, καὶ τὴν νίκην βραβεύουσαν κατὰ τοῦ ψεύδους τοῖς τῆς ἀληθείας παγκρατιασταῖς· ἀπὸ δὲ τῶν καιριωτέρων ἀρξόμεθα.

Περὶ τοῦ πνεύματος.

Τί τοίνυν φασὶ οἱ νέοι θεολόγοι; τὸ πνεῦμα φασὶ τὸ ἅγιον καὶ ἐκ τοῦ υἱοῦ ἐκπορεύεται, τὴν οὐσιώδη καὶ ὑποστατικὴν καὶ ὑπαρκτικὴν ἐκπόρευσιν, ὥστε εἶναι καὶ τὸν υἱὸν αἰτίαν τοῦ πνεύματος· ἀλλ' ἀντιφάσκετε τοῖς θεολόγοις· εἰς ἓν αἴτιον (φασὶν ἐκεῖνοι) τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ἀναφερομένων.

Βασίλ. Γρηγόρ. Αὐγουστ. Διονύσ.

“Βασίλειος, καὶ Γρηγόριος, καὶ Αὐγουστῖνος· Πριντζίπιουμ ὑτιῒτάτις πάτερ ἔς· “καὶ Διονύσιος, Πηγὴ τῆς ὑπερουσίου θεότητος, ὁ πατήρ· ἀλλὰ καὶ “τοῖς ἀποστόλοις ἀντιφθέγγεσθαι· “ἐκεῖνοι πατέρα τῶν φώτων λέγουσι τὸν πατέρα· φῶτα γὰρ τοῦ πατρός, τῷ πατρὶ ὁμοούσια, ὁ υἱὸς καὶ τὸ πνεῦμα· ἐκ τοῦ πατρὸς τῶν φώτων ἀνίσχοντα μὲν ὁμοουσίως, οὐ τὸν αὐτὸν δὲ τρόπον προόδου ἑκάτερον· διὸ καὶ ὁ μὲν, υἱός· γεννᾶται γὰρ ἐκ τοῦ πατρός· τὸ δὲ, πνεῦμα· ἐκπορεύεται γὰρ ἐκ τοῦ πατρός· ἀλλὰ καὶ αὐτῷ τῷ

Ἰωάν. ιε.

“Σωτῆρι ἀντιμάχεσθε· ἐκεῖνος περὶ τοῦ πνεύματος ταῦτα φησίν· Ὅταν ἔλθῃ ὁ παρά-“κλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς (τὴν χρονικὴν πέμψιν καὶ χορηγίαν, εἰ δὲ βούλει καὶ ἐκπόρευσιν, καὶ ἀποστολήν, καθ' ἣν καὶ αὐτὸς ὁ παράκλητος ὡς αὐτοκέλευστος ἔρχεται, καὶ παρὰ τοῦ υἱοῦ πέμπεται, καὶ παρὰ τοῦ πατρὸς ἀποστέλλεται, σημαίνων) τὸ πνεῦμα τῆς ἀληθείας· οὐ γὰρ ὀθνεῖον τῆς ἀληθείας καὶ ξένον, ἀλλ' ἴδιον ὡς ὁμοούσιον τῆς ἀληθείας· ἔστι γὰρ πνεῦμα ψεύδους, τὸ καὶ πλανῆσαν τὸν Ἀχαάβ· εἰσὶ καὶ λειτουργικὰ πνεύματα, τὰ εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν· ἔστι καὶ πνεῦμα δρόσου διασυρίζον· διὰ τοῦτο τὸ πνεῦμα φησὶ τῆς ἀληθείας ἐλεύσεται· ἧς ἐλεύσεως καὶ αὐτό, καὶ ὁ υἱός, καὶ ὁ πατὴρ ἐνεργεῖ· τὸ πνεῦμα τοίνυν τῆς ἀληθείας ὁ παρὰ τοῦ πατρός φησιν ἐκπορεύεται· ἐκ τοῦ πατρός φησιν ἐκπορεύεται, καθὼς ἐκ τοῦ πατρὸς καὶ ὁ υἱὸς γεννᾶται· πῶς μὲν οὖν εἰ καὶ ὁ υἱὸς αἰτία τῆς ὑποστατικῆς καὶ ὑπαρκτικῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος, (οὐ τῆς πέμψεως, ἀποστολῆς, καὶ χορηγίας τῆς ἐν χρόνῳ, ἀλλὰ τῆς ἀϊδίου ἐκπορεύσεως,) οἴχεται ἡμῖν τὸ κάλλιστον τῆς καθ' ἡμᾶς ἀνατολικούς τε καὶ δυτικοὺς πάντας ὁμοίως, οἴχεται τὸ κάλλιστον τῆς θεολογίας κεφάλαιον· μοναρχίαν γάρ, μίαν δηλαδὴ ἀρχὴν πρεσβεύομεν ἅπαντες· πάντων μὲν τῶν (ὡς φασὶ καὶ οἱ τῆς σχολῆς) ἐκτὸς τῆς τριάδος, αὐτὴν τὴν τριάδα· τῶν δὲ ἐντὸς τῆς ὑπερθέου τριάδος, τὸν πατέρα μόνον· ἵνα ἡ μία ἀρχὴ ἡ καλλίστη τῆς θεολογίας ἀρχή, τὸ μέγιστον τῆς ὀρθοδοξίας ἀξίωμα, πάντη τε διασώζηται καὶ πάντως· ἀδύνατον δὲ ὂν ἓν αἴτιον εἶναι τοῦ πνεύματος καὶ τὸν υἱὸν μετὰ τοῦ πατρός· καθὸ γὰρ ἓν ὂν μετὰ τοῦ πατρὸς ὁ υἱὸς (ἔστι δὲ ἓν καθὸ οὐσία) ἕν ἐστι καὶ τὸ πνεῦμα μετὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ· εἷς γὰρ Θεὸς τὰ τρία, μία οὐσία, μία φύσις, μία ἀρχή, εἷς δημιουργός, ἀλλὰ καὶ τὸ γεννᾶν, γεννᾶσθαι, ἐκπορεύειν, ἐκπορεύεσθαι, οὐ τῆς οὐσίας, ἀλλὰ τῶν ὑποστάσεων εἰσὶν ἰδιότητες· αἱ δὲ ἰδιότητες πάντως οὐ κοιναί· Τούτων οὕτως ἐχόντων, τίς ἡ τόλμη εἰς καταστροφὴν τοῦ μεγίστου δόγματος τῆς

εὐσεβείας,

εὐσεβείας, τίς ἡ τόλμη καὶ αὐτῷ τῷ Σωτῆρι Χριστῷ ἀνθισαμένους, ἄλλην διδαχὴν παρ' ἣν ἐδίδαξεν ὁ Σωτήρ, παρ' ἣν τὸ ἱερὸν εὐαγγέλιον φέρει, εἰσφέρειν εἰς τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν ἀποτολμᾷν; οὐδὲ τῷ Ἰσαποστόλῳ Διονυσίῳ πειθομένους ἀναμφανδὸν βοῶντι· Μηδὲν ὅλως τολμᾷν ἢ λέγειν ἢ φρονεῖν παρὰ τὰ ἐν τοῖς ἱεροῖς λογίοις ἐκπεφασμένα· Κἂν ἄγγελος φησὶν ἀπ' οὐρανοῦ ὁ θεῖος Παῦλος εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω· ἠγνόησαν ὡς ἔοικε τὴν καλλίω ὑμῶν θεολογίαν ὁ χορὸς τῶν θεοφόρων πατέρων, τὸ ἱερὸν σύμβολον ἀναπτύσσων ἐν τῇ δευτέρᾳ συνόδῳ τῇ οἰκουμενικῇ, καὶ ἐξεπίτηδες κατὰ τῶν πνευματομάχων τὰ τοῦ πνεύματος μετὰ τοῦ πνεύματος ἐκφαίνων, καὶ λέγων, ταῖς αὐταῖς τοῦ Σωτῆρος λέξεσι· Καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον· Ὢ τῆς ἀτοπίας· τὰ τοῦ πνεύματος ὄργανα, ἐν ταῖς ὑπὲρ τοῦ πνεύματος παλαίστραις, παρὰ τοῦ πνεύματος ἐμπνεόμενα, τὰ τοῦ πνεύματος ἠγνόησαν, καὶ σκότος βαθὺ τῆς Ἐκκλησίας κατεχέετο συμπάσης, καὶ ἀνατολικῆς δηλονότι, καὶ δυτικῆς· διήρκεσέ τε ἐπιχυθὲν δι' αἰώνων πολλῶν, ἄχρις οὗ μετὰ τοσαύτας καὶ τηλικαύτας συνόδους οἰκουμενικάς τε καὶ τοπικάς, ἡ τοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης καινὴ καὶ πρόσφατος ἀρχή, οὐ μόνον πάσης ἀρχῆς καὶ ἐξουσίας κατεπαιρομένη, ἀλλὰ καὶ πολλῶν πάπων κατατολμήσασα (οἳ σὺν τοῖς πατράσι τοῖς ἀποστολικοῖς τὸ αὐτὸ σύμβολον τῆς πίστεως μετὰ τῆς αὐτῆς περὶ πνεύματος θεολογίας ἐπρέσβευον) καὶ τὸ σύμβολον ἔφθειρε, καὶ τῷ τοῦ πνεύματος ἐλυμήνατο δόγματι, κηρύξασα καὶ τὸν υἱὸν αἰτίαν τοῦ πνεύματος, τῆς καινοτομίας, ἣν πολλαχοῦ παρεισήνεγκε.

« Διονυσ.
« Γαλάτ. α.
« Συνόδ. β.

Καὶ γὰρ τῶν ἀχράντων μυστηρίων κατέτεμε τὴν παρὰ τοῦ Σωτῆρος παράδοσιν· ἄρτον γὰρ καὶ οἶνον λαβὼν (σιωπῶ νῦν τῶν ἰουδαϊκῶν ἀζύμων τὴν νομικὴν καὶ μετὰ τὸν νόμον τοῖς ἐν χάριτι παρὰ δέον σπουδαζομένοις παραφυλακήν) καὶ εὐχαριστήσας καὶ ἁγιάσας, παρέδωκε εἰπών, Λάβετε φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν· ὁμοίως καὶ τὸ ποτήριον λέγων, Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτο ἐστὶ τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· Αὕτη δὲ καταλιποῦσα τὸ εὐχαριστήσας, τὸ ἁγιάσας, μόνοις προσφύεται τοῖς ῥήμασι, τοῖς, τοῦτό μου ἐστὶ τὸ σῶμα, καὶ τὰ ἑξῆς, καὶ ἡμῖν μέμφεται τοῖς τῷ Σωτῆρι ἀπαραλλάκτως ἀκολουθοῦσι, καὶ μετὰ τῶν ῥημάτων ἐκείνων καὶ τὰς εὐχὰς καὶ εὐχαριστίας ἐκπληροῦσιν.

Περὶ τῶν ἀζύμων.
« Ματθ. κς.

Εἶτα καὶ τὴν ὁλομέλειαν διασπάσασα τοῦ μυστηρίου, τὸ σῶμα μόνον τοῖς μέλεσι τοῦ Σωτῆρος μεταδίδωσι· τὸ δὲ αἷμα (περὶ οὗ μετὰ τῆς ἐμφάσεως τοῦ πάντες, πίετε γάρ φησιν ἐξ αὐτοῦ πάντες) τὸ αἷμα φημί, οὐ πᾶσιν, ἀλλὰ μόνοις τοῖς ἱερεῦσιν ἀνατίθησι· τὸ ὑπὲρ ὑμῶν· ἀλλ' οὐ μόνων· καὶ γὰρ καὶ πολλῶν ἐκχυνόμενον, εἰς ἄφεσιν ἁμαρτιῶν· Οὕτως ἐχομένους ἡμᾶς τῆς εἰλικρινοῦς τοῦ Σωτῆρος διδασκαλίας, οἱ τὸν Πέτρον αὐχοῦντες τὸν μακάριον καθηγητὴν καὶ διδάσκαλον, οἱ τῆς πρεσβυτέρας Ῥώμης παῖδες (οἱ νῦν τὰ τῆς Ἐκκλησίας τῆς Ἀνατολικῆς ἀνασκευάζοντες, καὶ κωμῳδοῦντες τὰς κακουχίας, καὶ τὰ ὑπὲρ τῆς τοῦ Χριστοῦ πίστεως δεσμά τε καὶ μάστιγας διωγμούς τε καὶ καθ' ἡμέραν θανάτους) διασύρουσιν.

Περὶ τῆς μετὰ δόσεως τῶν μυστηρίων.

Ἀλλ' ἴσως τῆς ἀτοπίας ταύτης τῆς καθ' ἡμῶν πίστιν ἐλπίζουσι δίκην ἐν τῷ νεοδμήτῳ πυρὶ (τῷ καθαρτηρίῳ δηλονότι) ὑπὲρ οὗ καὶ διαπληκτίζονται πρὸς ἡμᾶς μὴ παραδεχομένους πῦρ ἄγνωστον, καὶ πουργατόριον ἄδηλον, καὶ αὐτοῖς ἄγνωστον τοῖς τοῦτο πρεσβεύουσι, καὶ ἀγνώστοις χρείοις ἀναπλαττόμενον· Εἰ πάντως γὰρ οἱ τοῦ πυρὸς τούτου τοῦ πουργα-

Περὶ τοῦ καθαρτηρίου πυρός.

τορίο

πείν εἰσηγηταὶ ποῖον τί ποτε πῦρ ἐστιν (εἰ μὴ μάτην ζητεῖται ὁποῖον ἐστι, τὸ εἰ ἐστιν ἀγνοούμενον) ἀλλ' οὖν εἰπάτωσαν ποῖόν τι πῦρ ἐστι· θεῖον; ἀλλὰ φῶς ἐκεῖνο· εἰ δὲ καὶ πῦρ, ἀλλὰ πῦρ τὴν κακίαν καταναλίσκον· τοιοῦτον δὲ οὐ βούλονται εἶναι τὸ πυργατόρειον· οὐ γὰρ εἰς τὴν τῆς κακίας καθαίρεσιν ᾠκοδόμηται παρ' αὐτοῖς τὸ πῦρ ἐκεῖνο τὸ καθαρτικόν. λοιπὰς γάρ τινας κηλῖδας, ἢ τὰς ἐπὶ τῇ κακίᾳ, τὰς διὰ τῆς μετανοίας ἤδη προεξαλειφθείσας τιμωρίας εἰσπραττόμενον, τοὺς προκεκαθαρμένους ἀποκαθαίρει· στοιχειῶδες; ἀλλὰ σώματι τὸ στοιχεῖον συστοιχεῖ· ἀλλὰ τὸ τοῦ ᾅδου τὸ ἀφεγγές; ἀλλὰ διηνεκὲς τοῦτο καὶ ἄσβεστον, οὐ πρόσκαιρον δὲ καὶ ἐκλεῖπον· καὶ κολαστικὸν μέν, οὐ καθαρτικὸν δέ· ποῦ δὲ κεῖται τὸ καθαρτήριον τοῦτο πῦρ; μετὰ γὰρ τὴν ἀπαλλαγὴν τῶν τῇδε, κόλπους Ἀβραὰμ ἐδήλωσεν ἡ γραφή, καὶ βασάνων τόπον καὶ φλογός· μεταξὺ δὲ χάσμα μέγα· καὶ Αὐγουστῖνος δὲ ὁ μακάριος, καὶ Βερνάρδος, τρία ἴσασι σκηνώματα· ποῦ πίνω γῆς, ποῦ οὐρανοῦ, ποῦ ᾅδου τὸ καθαρτήριον· Ἀλλὰ καὶ Αὐγουστῖνος φησὶν ἐφ' ὅπου τὸ πουργατόρειον τίθησιν· ἀλλὰ πρότερον μὲν οὐχ οὕτω δογματικῶς· ἔπειτα δὲ καὶ οἱ τρία μόνα σκηνώματα κατὰ τὴν θείαν γραφὴν ἐπιγινώσκοντες, εἶτα τὸ πουργατόρειον προσβιάζοντες, ἑαυτοῖς τε περιπίπτουσι, καὶ τῇ θείᾳ γραφῇ διαφωνοῦσι· γνώμη δὲ οὕτως ἀστατοῦσα (εἴγε ὅλως καὶ γνώμη) καὶ ἀσύστατος, δόγμα εἶναι οὐ δύναται.

Ποῦ δὲ καὶ δίκαιον, ἢ πρέπον, τῆς ψυχῆς μετὰ τοῦ σώματος πλημμελούσης, ἢ καὶ Θεοῦ χάριτι, εὐθυμουμένης καὶ θεοδρομούσης· διὸ καὶ μελλούσης πάσαις ἀνάγκαις, ἢ στεφανωθῆναι τὸν τῆς δικαιοσύνης στέφανον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ μετὰ τοῦ οἰκείου σώματος, ἢ καὶ ἀποπεμφθῆναι μετὰ τοῦ αὐτοῦ σώματος εἰς τὸ πῦρ τὸ ἐξώτερον, εἰς τὴν φλόγα τὴν διαιωνίζουσαν· ποῦ φημὶ δίκαιον μόνον ἐν τῷ πουργατορείῳ, μόνην εἰσιέναι τὴν ψυχὴν γυμνὴν σώματος, τὰς παραπτώσεις ἐκείνας τὰς πουργατορείους, καὶ καθαρτικὰς ὑποισομένην; ἀλλὰ καὶ ποῦ τῆς θείας γραφῆς τὸ πουργατόρειον τοῦτο πῦρ παραδέδοται; ὁ Σωτὴρ (φησὶ)

Ματθ. ε.

« Οὐκ ἐξελεύσεται ἕως οὗ ἀποδῷ καὶ τὸν ἔσχατον κοδράντην, ἄρα πῦρ ἐστι πουργατόρειον καὶ καθαρτικόν· Ἀλλ' ὦ οὗτοι, οὔτε περὶ καθαρτηρίου πυρὸς ὁ Σωτὴρ διαλέγεται, καὶ σκεπτέον καὶ τίς ἐκεῖνος περὶ οὗ ταῦτα εἴρηκεν ὁ Σωτήρ, μὴ ἄλλης φυλακῆς εὑρεθῇ ἄξιος, οὐ καθαρτικῶν χωρίων, ἀλλὰ φλογῶν τιμωρητικῶν καὶ κολαστικῶν, καὶ τοῦ ἐσχάτου κοδράντου εὐθύνας ἀπαιτουσῶν· ἀλλὰ καὶ τὸ ἕως οὐ πάντοτε τέλος σημαίνει·

Ψαλ. ρκβ.

« Οἱ ὀφθαλμοὶ (γάρ φησι) ἡμῶν πρὸς τὸν Θεὸν ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς· οὐ γὰρ μετὰ ταῦτα οὐκ ἔσονται· οἷς γε διὰ τοῦτο οἰκτιρμοὶ παρὰ τοῦ φιλανθρώπου καὶ χορηγοῦνται καὶ λαμβάνονται, ἵνα πάντοτε σὺν κυρίῳ ἐσώμεθα· οὐδὲ Ἰωσὴφ ὁ μὴ γνοὺς τὴν παρθένον, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, ἔγνω μετὰ ταῦτα· ἀλλὰ τὸ μέχρι μὲν τίθησι, τὸ δὲ μετὰ ταῦτα οὐκ ἀναιρεῖ· Ὁ δὲ Παῦλος

Κορ. α. κεφάλ. γ.

« Τὸ πῦρ μὲν φησὶ δοκιμάσει· ἀλλὰ τοῦτο τοῦ καθαρτικοῦ ἐκείνου πουργατορείου τρὶς, δὶς διὰ πασῶν διαφέρει· τὸ μὲν γὰρ πουργατόρειον ὡς αὐτοί φασι (καίπερ οὐδ' αὐτοῖς συμφωνοῦσιν οἷς λέγουσι δι' ὧν πράττουσι) οὐ πάσι γὰρ οὐδέ· * ἀναπτόμενον κηρύττοντες τὸ πουργατόρειον, ὑπὲρ ἁπάντων, καὶ ἐφ' ἅπασι προσδέχονταί τε (μέχρι σήμερον) τὰς προσφορὰς ὡς προσφορὰς, καὶ οὐ ποιοῦσι τὰς ἐντάξεις· τὸ μὲν οὖν πουργατόρειον, οὐχ ἁμαρτίας, οὐ κακίας ἁπλῶς καθαίρει (φασὶν) εἰ μή που κηλῖδας τινῶν λεπτοτάτων, καὶ κουφοτάτων καὶ συγγνωστῶν, ἢ καὶ θανασίμων μέν, διὰ δὲ τῆς μετανοίας ἀφεθεισῶν· καθαίρει δὲ καὶ τὰς ἐπὶ ταῖς φθασάσαις καὶ ἀφεθείσαις ἁμαρτίαις ἐκτίσεις, πάντως, ξύλου, καλάμης, χόρτου, τὸ πουργατόρειον ἔσται δεκτικόν· τοιοῦτον γὰρ παρ' αὐτοῖς ἀναπλάττεται, λεπτῶν δηλονότι, καὶ κούφων ἁμαρτημάτων·

ἁμαρτημάτων· οὐ γὰρ ἐκλελοιπόσιν ὡς ἐπειγομένοις τοῦ τῆς τοιαύτης φιλανθρωπίας. τὸ δὲ Παύλῳ λεγόμενον πῦρ, καὶ τὰς εὐτελεῖς ὕλας εἰσδέχεται, ξύλον (φέρε εἰπεῖν) καλάμην, χόρτον· καὶ τὰς ἐντίμους τε καὶ ἀξιαγάστους· χρυσὸν, ἄργυρον, λίθους τιμίους· ὡς καὶ Αὐγουστῖνος ἐν, ξζ. κεφαλ. τοῦ ἐγχειριδίου πρὸς Λαυρέντιον λέγει· οὐκ ἄρα τὸ παρὰ Παύλῳ πῦρ, τὸ πῦρ ἐστὶ τὸ παρὰ τῇ πρεσβυτέρᾳ Ῥώμῃ πρεσβευόμενον καθαρτήριον, ἢ πουργατόριον πῦρ. Τί δαὶ καὶ μετὰ τῶν Μακκαβαίων; ἐκ γὰρ τοῦ Ἰούδα κατ' ἀνδρολογίαν συλλογῆς ὑπὲρ τε τῶν κεκοιμημένων τῶν κεκλοφότων τὰ Ἰαμνείας ἱερώματα τὰ χρυσᾶ προσφορᾶς, πῦρ ἐξάγουσι καθαρτικὸν, ὅθεν οὐδαμῶς πῦρ πουργατόριον ἐκθρώσκει· ἥκειν γὰρ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν μέχρις καὶ τῶν ἀποιχομένων ἴσως ὑπεμφαίνει· ὅθεν ἡ Ἐκκλησία τοῦ Θεοῦ καὶ εὔχεται, καὶ ἐλπίζει ἐν οἱοισουνδὴ ἐπὶ τόποις, οὐ ἀδυνάτοις, ἢ κατ' Αὐγουστῖνον· Καὶ διὰ τοῦτο εὐχαί τε καὶ ἐλεημοσύναι καὶ μνημόσυνα παρ' ἡμῶν, ὅτι μὴ ἀδυνάτως ἔχειν τὸν πολυέλεον Θεὸν ἐκτείνειν τοὺς ἀφάτους οἰκτιρμοὺς ἐπὶ τοὺς δεομένους, καὶ οὐκ ἀπᾷδον τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ δοκεῖ πρὸ τῆς ἐσχάτης ἡμέρας τῆς κρίσεως, τὰ τοῦ ἐλέους ἐνδείκνυσθαι· Ἔλεον γάρ φησι καὶ κρίσιν ᾄσομαί σοι· καὶ ἀποστολικὴ ἐστὶ διὰ τῶν πατέρων εἰς ἡμᾶς φθάνουσα παράδοσις, καὶ παρὰ τῆς θείας γραφῆς ἔχει λαβοῦσα τὴν σύστασιν, ἐν ᾗ τῶν ζώντων αἱ εὐποιΐαι, καὶ τὰ δάκρυα, τοῖς κεκοιμημένοις οὐ τὴν τυχοῦσαν προσγεγεννήκασιν ὠφέλειαν· καὶ γὰρ καὶ ὁ προφήτης τῇ Σουμανίτιδι χαριζόμενος, ἤγειρεν αὐτῆς τὸν υἱόν, καὶ ὁ ἀπόστολος ἐν Λύδδᾳ, τὴν Ταβιθὰν, καμφθεὶς τοῖς δάκρυσι τῶν συμπενθουσῶν γυναικῶν περὶ τῆς Δορκάδος· καὶ ὁ Σωτὴρ καὶ ἐν Ναῒν τῇ χήρᾳ κλαιούσῃ ἀναστήσας ἐχαρίσατο τὸν υἱόν, καὶ ταῖς περὶ τὴν Μάρθαν τὸν Λάζαρον διὰ τὴν αὐτὴν αἰτίαν, ἣν ὁ Παῦλος τῇ τῆς πίστεως δυνάμει ἀναφέρει· Πίστει (φάσκων) ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς αὐτῶν νεκρούς· δήκειν οὖν τὴν τοῦ Θεοῦ φιλανθρωπίαν καὶ ἐπὶ τοὺς κεκοιμημένους καὶ πρέπει πλασθῆναι τὰς φλόγας τὰς πουργατορείους, καὶ μετὰ τὴν αὐτῶν ἀναμόρφωσιν (ὁπότ' ἂν καὶ ἤρξατο· ἄγνωστος γὰρ τούτων καὶ ἡ ἔναρξις καὶ ἡ τελευτή·) Τῆς οὖν φιλανθρωπίας τοῦ Θεοῦ τὴν ἔκχυσίν τε καὶ ἔκτασιν, παρεσήμανεν ἡ κατὰ τὸν Μακκαβαῖον ἐπίνοια· πῦρ δὲ καθαρτήριον, οὐδαμῶς ἄπει·

Ἄλλως τε καὶ τὸ ἔγκλημα περὶ οὗ τὴν προσφορὰν Ἰούδας γενέσθαι ἐπενόησεν, οὐ καθαρτηρίῳ πυρὶ, ἀλλ' ἀσβέστοις καὶ κολαστικαῖς ἁρμόζει φλοξὶν· ἦν γὰρ κλοπὴ, ἢ ἱεροσυλία, ἢ εἰδωλολατρεία, καὶ παρακοή· πάντως δεινὸν ἦν, δι' ὃ τὴν παρεμβολὴν ὁ Θεὸς τοῦ Ἰούδα καταστρωθῆναι παρεχώρησε· βλέπεις καὶ τὸ πολυθρύλητον, ἢ πολυθρύλλητον πουργατόριον, ὡς τῷ τῶν θείων γραφῶν πυρὶ καταναλίσκεται, καὶ διαμένει ἀκράδαντος ἡ εὐσεβὴς τῆς καθολικῆς Ἐκκλησίας τῶν ὀρθοδόξων ἡμῶν ἐπίνοια (κατὰ Ἰούδαν εἰπεῖν τὸν Μακκαβαῖον) περὶ πάντων τῶν ἐν εὐσεβείᾳ κεκοιμημένων προσφερομένης τε καὶ πρεσβευούσης (τῶν προφανῶς ἀμετανοήτων ἀποιχομένων ἐξαιρουμένων) καὶ διαφευγούσης τὸ ῥωμαϊκὸν πουργατόριον πῦρ· ταύτην δὲ τὴν Ἐκκλησίας τοῦ Χριστοῦ τὴν εὐσεβῆ ἐπίνοιαν ὁ ἱερὸς Αὐγουστῖνος, ἐν ρθ. κεφαλαίῳ τοῦ πρὸς Λαυρέντιον ἐγχειριδίου ἑρμηνεύει· Ὅταν (φησὶν) αἱ θυσίαι αἵ τε τῆς ἱερᾶς τραπέζης, καὶ αἱ τῶν οἰκονομιῶν ἐλεημοσυνῶν ὑπὲρ τῶν βεβαπτισμένων κεκοιμημένων ἁπάντων (λέγει διὰ πάντων) προσφέρωνται, ὑπὲρ μὲν τῶν ἀγαθῶν εὐχαριστίαι εἰσίν· ὑπὲρ δὲ τῶν μὴ λίαν πονηρῶν, ἱλασμοί εἰσιν· ὑπὲρ δὲ τῶν πάνυ πονηρῶν (καίπερ βοήθειαι μὴ τεθνεότων ὅλως οὐκ εἰσὶ) ζώντων δὲ, παραμυθίαι ὁποιουνοῦν εἰσιν· οἷς δὲ ὠφέλιμοί εἰσιν ἐπὶ τούτῳ ὠφελοῦσιν, ἢ ἵνα ᾖ τέλειος ἡ ἄφεσις, ἢ πάντως ἵνα φορητότερα ᾖ ἡ κατάκρισις.

Εἴπω καὶ τὰς λοιπὰς τῆς κοινῆς διαστ[illegible] νῦν καὶ κατὰ Χίον τὴν κα-

« Αὐγ

« Ψαλ. ρ

« Ἑβραι. ια.

« Αὐγουσ

Περὶ τῶν τοῦ συσβά[illegible] νησίας.

τὴν ποίμνην τοῦ Σωτῆρος, τὸ εὐαγγελικὸν λήϊον, οἱ τὰς τῆς πρεσβυτέρας Ῥώμης ἢ πρεσβεύοντες, ἢ φρονεῖν ἐπιχειροῦντες, ἢ φρονεῖν ἐπιγόμενοι σκανδαλίζοντες τοὺς ἀκεραιοτέρους, καταχέουσιν οἷα ζιζάνια τῷ καλῷ σπόρῳ τοῦ Σωτῆρος, νηστεύειν νομοθετοῦσι τοῖς σάββασιν· ὅπερ Αὐγουστῖνος πολυστίχῳ ἐπιστολῇ πρὸς Καζουλανὸν ἀποδοκιμάσει· καὶ πρὸς τὸν καταχρώμενον τῷ τοῦ εὐαγγελίου ῥητῷ, γνησιώτερον ἑρμηνεύων ὁ θεσπέσιος Αὐγουστῖνος, ἀντεπιφέρει λέγων. Διὰ τοῦτο ὁ Σωτὴρ ἀμφότερα ἐν σαββάτῳ γενέσθαι βεβούληται· τό, τε ψώχειν τὰς στάχυας, καὶ τὸ ἐσθίειν τοὺς μαθητάς, ἵνα ἐκεῖνο μὲν ᾖ κατὰ τῶν κολαζόντων, τοῦτο δὲ ᾖ κατὰ τῶν ἀναγκαζόντων νηστεύειν ἐν σαββάτῳ· καὶ οἱ τοῦ Σωτῆρος δὲ ἀπόστολοι, ἐν, ξδ. κανόνι ἀπαγορεύουσιν, Εἴ τις (λέγοντες) κληρικὸς εὑρεθῇ τὴν κυριακὴν ἡμέραν νηστεύων, ἢ τὸ σάββατον, πλὴν τοῦ ἑνὸς (τοῦτο γὰρ καὶ ἡμεῖς νηστεύομεν, τὸ μέγα σάββατον δηλονότι) καθαιρείσθω· εἰ δὲ λαϊκός, ἀφοριζέσθω· ὁ γὰρ περὶ τούτου κανών, ὁ ξγ. φημί, περὶ πνικτῶν νομοθετῶν, τοὺς ταῦτα ἐσθίοντας ὁμοίως κολάζει· ὁ δὲ παρὰ τῇ πρεσβυτέρᾳ Ῥώμῃ, μηδὲ τὴν τῶν ἀποστόλων ἀξίαν αἰδούμενοι, ἀπεσκυβάλισαν· Καθὰ δὴ καὶ τὸν περὶ τῆς ἐν τετράδι νηστείας ἀπέβαλλον αὐτὸν διατεταγμένον τοῦ ἀποστολικοῦ .ξε. κανόνος· νομοθετησάντων γὰρ τῶν ἱερῶν ἀποστόλων τοῦ Χριστοῦ τὴν ἐν τετράδι νηστείαν, ἐπεὶ τότε ἡ προδοσία γέγονε, καθὼς ἐν παρασκευῇ τὸ σωτήριον πάθος, ἀντινομοθετῶν ὁ τῆς πρεσβυτέρας Ῥώμης πάπας τοῖς θείοις ἀποστόλοις, τὴν τετράδα νηστείας ἀπήλλαξεν· Παρομοίως καὶ τῶν τριακοσίων ἐκείνων πατέρων τῶν .τιη. θεοφόρων νομοθετησάντων ἐν, κ. κανόνι, μὴ κλίνειν τοὺς πιστοὺς γόνυ κατὰ τὴν κυριακὴν ἢ καὶ καθ᾽ ὅλην τὴν πεντηκοστὴν (οὗ μυστηρίου τὸν λόγον, καὶ ὁ ἱερὸς Αὐγουστῖνος ἐπιστέλλων Ἰαννουαρίῳ δῆλον ἐποίησεν) ἑστῶτας γὰρ τοὺς πιστοὺς ἐβουλήθη ἀποδοῦναι τὰς εὐχάς· ὁ δὲ τῆς πρεσβυτέρας πάπας Ῥώμης καὶ αὐτὴν τὴν λαμπρὰν ἡμέραν καὶ μεγάλην τῆς ἀναστάσεως, γόνυ κλίνειν οὐ παραιτεῖται· εἶτα οἱ τῆς Ἀνατολικῆς Ἐκκλησίας, τῆς γνησίας νύμφης τοῦ Χριστοῦ, οἱ τῷ Σωτῆρι κατ᾽ ἴχνος εἰλικρινέστατα παρεπόμενοι τοῖς τῶν πατέρων ὅροις ἐφησυχάζοντες, μηδὲν ὅλως ἀντιφθεγγόμενοι ταῖς ἐκκλησιαστικαῖς νομοθεσίαις, μηδὲν προσθέντες τοῖς ἱεροῖς λόγοις μηδὲν ἀφαιρούμενοι, διὰ τοῦτο καὶ ὀφθῆναι τοῦ Χριστοῦ ξένοι, δι᾽ ὃ τῷ Χριστῷ ἠνώθησαν πάσαις ψήφοις κρίνεσθαι ἤλπιζον δίκαιοι, ἤδη δὲ καὶ βλασφημούμεθα (καὶ χαίρομεν βλασφημούμενοι ἀδίκως· λυποῦσι δὲ οἱ σφίσιν αὐτοῖς διὰ τῆς ἀδίκου βλασφημίας ὀργὴν θησαυρίζοντες) ἀλλὰ βλασφημούμεθα οἱ ὀρθόδοξοι· Γραικοὺς ὀνομάζουσι, τοὺς τῆς Ἀνατολικῆς Ἐκκλησίας, ἐν ᾗ τῆς καθολικῆς Ἐκκλησίας οἱ ὀρθόδοξοι θησαυροὶ Θεοῦ φιλανθρωπίᾳ καὶ χάριτι ἐνέμειναν ἀσυντήρητοι· Βλασφημοῦνται τοίνυν οἱ ὀρθόδοξοι ὅτι (φασὶν οἱ νέοι ἀρίσταρχοι) τοὺς Γραικοὺς μὴ ἔχειν ἱερωσύνην, ἐπειδὴ εἰσὶν ὑποτεταγμένοι ἀσεβέσιν ἔθνεσιν· ἀλλὰ ταῦτα κρεῖττον ἦν σιωπῇ παραπέμπεσθαι, φθέγξομαι δὲ οὐκ ἀδακρυτὶ καὶ τὰ καθ᾽ ἡμᾶς δεινὰ σιωπῶν (καίπερ πᾶσιν ἄδηλα) καὶ τοὺς παραιτίους οὐκ ἀποκρύπτων· χαλεπὴν νῦν μὲν ὑπέστησαν αἰχμαλωσίαν τὰ καθ᾽ ἡμᾶς· τῆς δεινῆς δὲ ταύτης αἰχμαλωσίας, αἴτιοι πατέρες μὲν τὰς πρώτας ἁμαρτίας αἰτιατέον δὲ καὶ τὴν τῆς Ἐκκλησίας διχοστασίαν· τῆς δὲ διχοστασίας ἀρχιτέκτων καὶ δημιουργός, ὁ ταῖς καινοτομίαις τὴν Ἐκκλησίαν διχοτομήσας· τίς δὲ ὁ τὰς καινοτομίας καὶ τοὺς νεοτερισμοὺς μέχρι καὶ σήμερον εἰς μέσον ἄγων, οὐδένα νομίζομεν ἀγνοεῖν· ἀλλὰ κἂν τούτῳ τῷ χαλεπωτάτῳ σάλῳ, κἂν ταύτῃ τῇ πολυωδύνῃ ζάλῃ ὁ φιλάνθρωπος Σωτήρ, καὶ δοκῶν καθεύδειν, κυβερνῶν διαφυλάττει τὸ ἑαυτοῦ πλοῖον ἀκαταπόντιστον· ἔσμεν γὰρ Θεοῦ χάριτι, χριστιανοὶ τὴν ὀρθόδοξον πίστιν ἔχοντες ἐν τῇ καθολικῇ Ἐκ-

Αὐγουστῖνος.

Κανὼν τῶν Ἀποστόλων .ξδ.

Περὶ τῆς ἐν τετράδι νηστείας.

Περὶ γονοκλίσεως.

Περὶ τῆς ἱερωσύνης.

κλησίᾳ

κλησία παρακατέθεντο οἱ πατέρες, ἀνατολικοί τε καὶ δυτικοί) φυλάττοντες Θεοῦ χάριτι ἀπαράτρωτον· ἣν καὶ αὐτὴ ἡ πρεσβυτέρα Ῥώμη πρὸ τῆς περιθήκης καὶ τῶν νεωτερισμῶν, ὧν ἐξεῦρέ τε καὶ ἐφεύρισκει, καὶ αὐτὴ μεθ' ἡμῶν ἐπρέσβευεν, ὡς μέλος τῆς καθολικῆς Ἐκκλησίας συγγενές τε καὶ τίμιον, καὶ διετέλεσε πρεσβεύουσα μεθ' ἡμῶν, πολλῶν ἐτῶν περιόδους· καὶ τούτων μάρτυρες ἀπαράγραπτοι, οὐ δύο, ἢ τρεῖς, ἀλλὰ σύνοδοι πολλαί· οὐ τοπικαὶ μόνον, ἀλλὰ καὶ οἰκουμενικαὶ, πολλῶν καὶ ἁγίων πατέρων ὧν τοῖς ὅροις ἡμεῖς ἐμμένομεν Θεοῦ χάριτι, τηροῦντες ἄσυλον τὸν τῆς ὀρθοδοξίας θησαυρὸν, καίπερ ἐν σκεύεσιν ὀστρακίνοις· οὕτως ἡμέλητο), ἢ ἠμαύρωται τὰ καθ' ἡμᾶς, μεμενηκυίας ἀπαρατρώτου (Θεοῦ φιλανθρωπίᾳ) τῆς πίστεως, ἣν μέχρι σήμερον φυλάττομεν καὶ φυλάττοιμεν Χριστὲ βασιλεῦ ἄχρι τέλους ἀπαράτρωτον· ὁμοίως καὶ τὰ σεπτὰ τῆς ἀμωμήτου πίστεως μυστήρια ἀκαινοτόμητα· ὧν ἓν καὶ οὐ τὸ τυχὸν τὸ τῆς Ἱερωσύνης μυστήριον· ὅπερ ἐχόμενοι καὶ κρατοῦμεν, Θεοῦ χάριτι, καθὼς παρελάβομεν παρὰ τῶν ἁγίων πατέρων, ὡς παρέδωκαν αὐτοῖς οἱ σεπτοὶ τοῦ Σωτῆρος ἀπόστολοι, παρ' αὐτοῦ τοῦ Σωτῆρος διδαχθέντες, καὶ κατὰ τὸν Σωτῆρα διδάξαντας καὶ τὴν πίστιν καὶ τὰ τῆς πίστεως· χειροτονούμεθα καὶ χειροτονοῦμεν ἀλληλοδιαδόχως, καὶ ἀδιασπάστως ἐκεῖθεν ἀπὸ τῶν ἱερῶν ἀποστόλων, οὐκ ἐν μιᾷ τινὶ τῶν Ἐκκλησιῶν, ἀλλ' ἐν πάσαις ταῖς Ἐκκλησίαις (ἐκτὸς μιᾶς τῆς Ῥωμαϊκῆς) αἷς συγκροτεῖται ἡ Ἐκκλησία ἡ καθολική· χειροτονούμεθα, φημὶ, ὥσπερ οἱ ἀπαρχῆς παρέδωκαν αὐτόπται, καὶ χειροτονοῦμεν ἀπαραλλάκτως· Τοῦτο δ' ἐστὶ τὸ θαυμαστὸν, ὃ τοῖς ἀνοήτως κρίνειν ἐθέλουσι, φαίνεται καταγέλαστον, ὅτι καὶ τὰ ἔθνη (οἷς ὑποτετάχθαι ἡ τοῦ Χριστοῦ Ἐκκλησία φαίνεται) ὁ φιλάνθρωπος Θεὸς λόγοις ἀρρήτοις σοφίας ξένῳ τρόπῳ ὑποτάττει τῇ Ἐκκλησίᾳ· καὶ διδάσκει διὰ βασιλικῶν προσταγμάτων πᾶσαν ἄδειάν τε καὶ δύναμιν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ πράττειν ἀκωλύτως τὰ ἑαυτῆς· καὶ σχεδὸν πᾶσαι αἱ τοῦ Χριστοῦ Ἐκκλησίαι διαμένουσιν ἀτελεῖς· τὰ δὲ τάγματα τῶν μοναχῶν, οἰκεῖν τε πανταχοῦ καὶ πανταχοῦ φοιτᾶν τέλοις πάμπαν ἀπηλλαγμένα, καὶ δόγμασι κεκύρωται τυραννικοῖς. εἰ δέ που τὶς τῶν Ἐκκλησιῶν καὶ τέλος τελεῖ, θαυμαστὸν οὐδὲν τοῖς, τοῦ σωτῆρος, καὶ Ἰχθύος, καὶ Πέτρου, καὶ τῆς τοῦ Σωτῆρος παραγγελίας μεμνημένοις· Χλεύης οὖν καὶ ἐμπαιγμῶν ἀξία νομίζεται ἡ τηλικαύτη τοῦ φιλανθρώπου Θεοῦ φιλάνθρωπος κηδεμονία καὶ παρεμπολέμιαν φυλάττουσα τὴν ἐκκλησίαν ἀδέσμιον; ὡς ποτε παρὰ τοῖς ἀλλοφύλοις τοῦ μαρτυρίου τὴν κιβωτόν;

Λέγουσι δ' ὡς ἤδη καὶ τῶν μακρῶν νηστειῶν τε καὶ ἀγρυπνιῶν κατηγοροῦσι, καὶ τῶν μεσονυκτικῶν ὕμνων ὡς μὴ ἀναγκαίων, μάλιστά γε τοῖς κοινωνεῖν ἐθέλουσι τῶν ἀχράντων μυστηρίων, ἓν καὶ μόνον νομοθετοῦντες τὴν τῶν μυστηρίων καθημέραν κοινωνίαν· δίχα τυχὸν καὶ τῆς προστεταγμένης παρὰ τοῦ ἀποστόλου δοκιμασίας, Ἵνα μή τις ἀναξίως ἐσθίων καὶ πίνων, καὶ μὴ διακρίνων τὸ σῶμα καὶ αἷμα τοῦ κυρίου, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει. Ἀλλὰ κατηγοροῦσι τῆς ἀγρυπνίας καὶ τῶν νυκτερινῶν προσευχῶν, ὡς μὴ ἀναγκαίων (λέγω δ' ἀναγκαίων, εἰς μετρίαν εὐλάβειαν καὶ παρασκευὴν τῶν μελλόντων μεταλαβεῖν τῶν ἀχράντων μυστηρίων, καὶ τυχὸν τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν πλατεῖαν καὶ εὐρύχωρον κατασκευάσαι διανοουμένους, ὡς πολὺ τὸ εὐρύχωρον ἔχουσαν καὶ τὸ εὐπρόσιτον τῇ σαρκί) λέληθεν αὐτοὺς, καὶ ὁ Ῥώμης τῆς πρεσβυτέρας Γρηγόριος, ὁ πάλαι νομοθετῶν τὰς παραφυλακὰς ταύτας, ἐν οἷς περὶ τῆς θείας μυσταγωγίας διαλέγεται· οὐκ ἀναγινώσκουσι τὰ κατὰ τοὺς ἱεροὺς ἀποστόλους μεσονύκτιον ἐγειρομένους, οἳ καὶ εἰς μέσας νύκτας τὸν ἱερὸν λόγον ἐκτείνοντο; οὐδὲ Δαβὶδ ἀκούουσι, μεσονύκτιον ἐξεγειρομένου, καὶ ἐξομολογουμένου τῷ Θεῷ,

β. Κορ. δ.

Περὶ νηστειῶν καὶ προσευχῶν.

α. Κορ. α. κεφ. ια.

Ψαλ. ριη.

« ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης αὐτοῦ, καὶ φάσκοντος ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε, καὶ « ἑσπέρας, καὶ πρωΐ, καὶ μεσημβρίας ἐξομολογήσομαί σοι. οὐδὲ τὰς τῶν ἀποστόλων καὶ τῶν πατέρων διατάξεις λόγου τινὸς ἀξιοῦσι, τὰς τὰ καθ' ἡμᾶς πάντα συνισταμένας, οἱ καθάπαξ ἐξευτελίζειν τὰ καθ' ἡμᾶς ἐγνωκότες, ἵνα πρὸς ἑαυτοὺς τὴν τοῦ Χριστοῦ νεολαίαν ἑλκύσωσιν εἰς οὕτως ἀπρεπεῖς λόγους παραφέρονται, πικρότατα προσφερόμενοι τοῖς ἐν ἀνάγκαις· παυσάσθωσαν δή, παυσάσθωσαν, καὶ μὴ τὰς ἡμετέρας θλίψεις τε καὶ ταλαιπωρίας ταῖς παρ' αὐτῶν ἐπηρείαις προσανώμενοι, λύπας λύπαις ἐπιφέρωσιν. Ἡμεῖς τοῖς ἐρχομένοις ἀπὸ τῆς πρεσβυτέρας Ῥώμης, πᾶσαν ἐνδεικνύμεθα φιλανθρωπίαν, οὐ πόνων, οὐ δαπάνης, οὐδὲ κινδύνων φειδόμενοι· σαφῶς οἴδασιν ὃ λέγω, καὶ οἱ παρ' ἡμῖν πατέρες Ἰησουῗται, πεῖραν τῆς ἡμετέρας ἐπιεικείας λαβόντες· ἀλλ' οὐ ἠρεμεῖν, ἢ τὸν πόλεμον κατὰ τῶν ἀσεβῶν ἀρᾶσθαι, ἢ ἀντιπλάττεσθαι τοῖς ὁμοφύλοις αὐτῶν τοῖς κατὰ τὴν ἑσπέραν τὰ τῆς ῥωμαϊκῆς Ἐκκλησίας ἀνακρίνειν, τάς τε παρ' ἐκείνων δεινοτάτας κατηγορίας κατὰ τοῦ Πάπα τῆς πρεσβυτέρας Ῥώμης ἀποσκευάζειν ἐπιχειρεῖσθαι· ἀλλὰ μὴ καθ' ἡμῶν ἀπηνῶς οὕτως ἐκφέρεσθαι, καὶ τολμᾶν λέγειν ὅτι οἱ μὴ πειθόμενοι ὡς κεφαλῇ τῷ τῆς πρεσβυτέρας Ῥώμης πάπᾳ, οὐδὲ χριστιανοὶ τὴν ἀρχήν εἰσιν· πλανώμενοι γὰρ καὶ πλανῶντες ταῦτα δογματίζουσιν· οὐ γὰρ συμφωνοῦσι σφίσιν αὐτοῖς. Εἰ γὰρ οὐχ ἡγοῦνται χριστιανοὺς τοὺς τῆς Ἀνατολικῆς Ἐκκλησίας παῖδας ἡμᾶς (παρ' οἷς καὶ μόνοις τὰ τῆς καθολικῆς Ἐκκλησίας καὶ ὀρθόδοξα, δόγματα, μυστήρια, παραδόσεις, ἀπαρασάλευτα) εἰ τοίνυν οὐχ ἡγοῦνται χριστιανοὺς ἡμᾶς, ὅτι τῷ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης οὐ πειθόμεθα, ἰδίοις ὁρμαῖς ἄγοντι τὸ πᾶν, καὶ φαντάζονται ἱερωσύνης ἐστερημένους, πῶς οὐ βαπτίζουσιν οὐδὲ χειροτονοῦσιν, οὓς ἂν ἀποστήσωσι τῆς Ἀνατολικῆς Ἐκκλησίας, ἢ λαϊκούς, ἢ τοῦ βήματος; ἀλλ' ἴσως ἐροῦσιν, ἃ οἴδαμεν· οἴδαμεν ὅτι τῷ Ῥώμης δέδοται ἡ κρίσις, καὶ αὐτὸς οὕτως εἰσηγεῖται, καὶ τὸ πραττόμενον νομοθετεῖ, καὶ ὡς βούλεται πράττει, ἀνυπεύθυνος ὤν, καὶ μηδενὶ κριτηρίῳ ὑπόδικος. Ἀλλ' ἴσασιν καὶ αὐτοί, πρὸ τούτων, ὅποι τῆς Ἐκκλησίας τε καὶ πολιτείας νόμοι αὐτοὺς ἐν αἰτίᾳ τυγχάνοντας οὐκ εἰσκρίνουσιν, οὐδὲ εἰς κατηγόρων (πολλοῦ γε καὶ δεῖ) εἰς κριτῶν μοῖραν· εἶτα, οὐδὲ τῇ Ῥωμαϊκῇ μόνῃ Ἐκκλησίᾳ μιᾷ οὔσῃ τῶν Ἐκκλησιῶν, ἔξεστι πασῶν τῶν Ἐκκλησιῶν κατηγορεῖν· πρὸς τούτοις δέ, ἡμεῖς οὔτε δόγματα καινά, οὔτε προσφάτους παραδόσεις εἰσάγομεν, ἀλλὰ τοὺς εἰσάγοντας, ὡς οὐκ ὀρθοποδοῦντας καὶ καινοτόμους ἀποστρεφόμεθα μάλα δικαίως καὶ εὐσεβῶς τῶν πατρικῶν ἐχόμενοι· ἐπὶ πᾶσι δέ, οὐδὲ δυνατόν ἐστιν μομφήν τινα προστρίβεσθαι ἡμῖν ὑπὲρ ὧν πρεσβεύομεν μέχρι τῆς ἑβδόμης Συνόδου· (ἵνα καὶ τὴν ἐπὶ Βασιλείου τοῦ Μακεδόνος γενομένην παραδράμωμεν, ἐν ᾗ τὴν ἐν τῷ συμβόλῳ προσθήκην τήν, καὶ ἐκ τοῦ υἱοῦ, ἀπέβαλλον συμφώνως) ἀδύνατον οὖν ἐστι μομφήν τινα προστρίβεσθαι ἡμῖν, μὴ καὶ τοῖς ἁγίοις πατράσιν ἀνατολικοῖς τε καὶ δυτικοῖς, καὶ τοῖς ἱεροῖς ἀποστόλοις, καὶ αὐτῷ τῷ Σωτῆρι δι' ὧν ἔχομεν, ὡς ἐδείξαμεν, ἃ πρεσβεύομεν. Ἀλλ' ἀσυλλόγιστοι καλὸν ἡ πονηρία· τῷ ψεύδει καὶ τῇ ἀδικίᾳ συνηγοροῦσιν οἱ πολεμοῦντες ἡμᾶς· πῶς γὰρ δίκαιον τὴν καθολικὴν τοῦ Χριστοῦ Ἐκκλησίαν ἑνὶ τῷ τῆς πρεσβυτέρας Ῥώμης ἐπισκόπῳ, ὡς καθολικῇ κεφαλῇ καὶ μόνῳ ἐπισκόπῳ, καὶ τῶν λοιπῶν ἁπάντων πρυτάνει, νομοθέτῃ, καὶ καθηγητῇ, προσάπτειν ἤδη ἀρξαμένῳ μετὰ φρικτῶν ἐκείνων διορισμῶν, ὅτι τάδε προστάττομεν; * Σιωπῶ γὰρ τὴν πᾶσιν ἀείδηλον ἰομαθεσίαν ἐκείνην, ἣν ὁ Γρατιανὸς ἀνεγράψατο· ὅτι τῷ τῆς πρεσβυτέρας Ῥώμης πάπᾳ καὶ καταμημίζοντι εἰς ᾅδου καταβαίνειν, τουτέστιν ἀγεληδόν, ἢ σωρηδὸν (εἰς ἔνδειξιν δηλονότι τῆς τοῦ κράτους ὑπερβολῆς) τὰς τῶν ἀνθρώπων ψυχάς, μηδένα

τολμᾶν.

τολμῶν αὐτοφθαλμίζουσι· πόθεν δίκαιον σύμπασαν τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν ἠνδραποδίσθαι, ἢ πότε ἠνδραπόδισε τὸν τῆς Ῥώμης ἀρχιερεῖ; πότε ὁ Ῥώμης κεχειροτόνηκε Πατριάρχην Κωνσταντινουπόλεως, Ἀλεξανδρείας, Ἀντιοχείας, Ἱεροσολύμων, τῶν ἀποστολικῶν καὶ ἰσοταγῶν θρόνων ἀρχιερεῖς; ἃ νῦν βλέπομεν, ἢ ὡς ἐν ἀγορᾷ παιδίων, ἢ ὡς ἐν σκηνῇ τραγικῇ παιζόμενα; Ἡμεῖς τῷ Σωτῆρι πειθόμενοι, τοῖς ἀποστόλοις, τοῖς πατράσι, καὶ τοσαύταις καὶ τηλικαύταις Συνόδοις οἰκουμενικαῖς τε καὶ τοπικαῖς, πάσας πολλὰς καὶ τελείους τῆς πρεσβυτέρας Ῥώμης ἐχούσαις σύμφωνας, μίαν, οὐ δύο ὁμολογοῦμεν καὶ κηρύττομεν Ἐκκλησίαν· ἧς καθολικῆς οὔσης, μίαν οἴδαμεν καὶ καθολικὴν κεφαλὴν τὸν Χριστὸν ὡς ἔφη Παῦλος· θεμέλιον, πέτραν, τὸν Χριστὸν, ὡς ἐδίδαξε Παῦλος· ἐν ταύτῃ τῇ Ἐκκλησίᾳ τῇ μιᾷ τῇ καθολικῇ, πολλὰς οἴδαμεν τὰς κεφαλὰς τῶν κατὰ μέρος μεγάλων Ἐκκλησιῶν, τοὺς πατριάρχας δηλονότι τῶν θρόνων τῶν καθολικῶν· ὧν ἕνα καὶ τὸν τῆς πρεσβυτέρας Ῥώμης γνωρίζομεν, μέχρις οὗ τὰ τῆς ὀρθοδοξίας παρ' αὐτῷ ἔχουσιν ὑγιῶς· προσθήκας ἢ ἀφαιρέσεις οὐ προσιέμεθα, τοῦτο γὰρ διὰ Μωσέως προστάττει Θεός· Παῦλος ἀπηγόρευσε, καὶ μετὰ Παῦλον, οἱ πατέρες, ἐκφωνήσαντες τοῖς τὰ ἐναντία τολμήσωσι ἀνάθεμα· μετὰ ταύτης τῆς καθολικῆς Ἐκκλησίας καὶ ἐν ταύτῃ τῇ καθολικῇ Ἐκκλησίᾳ, συμπάσχομεν Χριστῷ, ἵνα συνδοξασθῶμεν· εἰς ταύτην τὴν καθολικὴν καὶ μίαν ποίμνην τοῦ Σωτῆρος Χριστοῦ, πάντας προσκαλοῦμεν εἰσελαύνειν· μὴ μεταίροντας ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες ἡμῶν, μὴ τῷ τοῦ Θεοῦ προσκρούσωσι διατάγματι· μὴ ἄλλο τι παρ' ὃ παρελάβομεν εὐαγγελιζομένους, μὴ προσθήκαις ἢ ἀφαιρέσεσι τῷ ἱερῷ συμβόλῳ τῆς πίστεως ἐπηρεάζοντας, μὴ τῷ παρὰ Παύλου καὶ τῷ παρὰ τῆς Συνόδου ὑπόδικοι καταστῶσιν ἀναθέματι· μὴ συμπεριφερομένους τῇ τοῦ κόσμου σοφίᾳ, ἵνα μὴ κενώσωσι τὸ μυστήριον τοῦ σταυροῦ· μὴ παραχρωμένους πλοκαῖς τῆς ψευδονύμου γνώσεως καὶ ταῖς τοῦ κόσμου ποικίλαις διδασκαλίαις· μὴ τὴν ἀμώμητον συλλαγωγηθῶσι πίστιν· μὴ δελεαζομένους ταῖς τοῦ βίου προσπαθείαις τε καὶ εὐπαθείαις τῆς μερίδος ἐκπέσωσι Λαζάρου τοῦ πτωχοῦ· ἀλλὰ τῶν ἐπαγγελιῶν μεμνημένους τοῦ Σωτῆρος, καὶ τῷ Σωτῆρι ἀκολουθοῦντας, εὐθυδρομεῖν ὀρθοποδοῦντας· Δέδια γὰρ ἀδελφοὶ τὰς μηχανὰς καὶ πανουργίας τῶν τοῖς ἡμετέροις ἐπιφοιτώντων ἐν σχήματι προβάτων, καὶ διὰ τῆς χρηστολογίας πειρωμένων παρεκκλῖναι τὰς τῶν ὀρθοδόξων διανοίας, πανταχόθεν θλιβομένας καὶ στενοχωρουμένας, καὶ μηδὲ μίαν ἐχούσας παρὰ τῶν ἰδίων ποιμένων, ἢ ψυχῶν παράκλησιν, ἢ σωμάτων θεραπείαν· δέδια οὖν παραπλησίως τῷ μεγάλῳ Βασιλείῳ, τοῦτο μόνον διαφέρων ἐκείνου, ὅτι πρὸς οὓς ἐκεῖνος ὀλοφύρετο βοηθείας ἐλπίδας τυχὼν ταῖς παρὰ τῶν ψευδαδέλφων ἐπαγομέναις τοῖς ὀρθοδόξοις ἐπηρείαις, κατ' αὐτῶν ἡμεῖς ὀλοφυρόμεθα πολεμούμενοι· οὐ τοῖς Ἰταλοῖς, ἢ τοῖς λοιποῖς τῶν ἑσπερίων μεμφόμεθα τοῖς, πάσαις ἀρεταῖς ἰδίαις, καὶ φιλανθρωπίᾳ κεκοσμημένοις, οἷς καὶ κράτος ἀήττητον, καὶ ἀστασιάστους ἀρχὰς, καὶ διηνεκεῖς εὐημερίας εὐχόμεθα· πᾶσαν τε ἀγάπην καὶ δεξίωσιν πανταχοῦ πρὸς αὐτοὺς ἐνδεικνύμεθα· μόνον δὲ τὸν τῆς πρεσβυτέρας Ῥώμης ἀρχιερέα, τῆς διχοστασίας βλέπομεν αἴτιον· καὶ ὑπεραλγοῦμεν, οἷς βλέπομεν, καὶ οἷς ἐκεῖθεν πάσχομεν ὀδυρόμεθα· Ἀλλὰ Βασιλείου ἀκούσωμεν ὀλοφυρομένου τὰ καθ' ἑαυτὸν, τοῖς καθ' ἡμᾶς παρόμοια ἔχοντα· ἐπέστελεν οὖν πρὸς τοὺς τῆς ἑσπέρας ἀρχιερεῖς ταῦτα λέγων. Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς βλεφάροις μου πηγὰς δακρύων, καὶ κλαύσομαι τὸν λαὸν ἡμέρας πολλὰς, τὸν ταῖς πονηραῖς ταύταις διδασκαλίαις (οἵας καὶ αὐτοὶ μικρὸν πρότερον ἀπηριθμησάμεθα κατὰ

Βασιλ.

τὴν εὐτελεστάτην κίον ζιζανίων δίκην παρεσπαρμένας) πρὸς τὴν ἀπώλειαν συναθέμενον· πληροφοροῦνται τῶν ἀκεραιοτέρων αἱ ἀκοαί· εἰς συνήθειαν λοιπὸν ἦλθον τῆς εἴπω καὶ αὐτὸς τὴν αὐτὴν τῷ Βασιλείῳ φωνήν, ἢ σιωπήσω πολλὰ φιλανθρωπευόμενος τοῖς διασύρουσιν, ἤδη δὲ καὶ βλασφημοῦσιν ἀνερυθριάστως τὴν Ἀνατολικὴν Ἐκκλησίαν· Σαντίερος γὰρ ἐν οἷς περὶ τοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης συνέγραψεν ἀρχῆς, ἢ μοναρχίας ἐκκλησιαστικῆς, τῇ τοῦ διαβόλου (φεῦ τῆς βλασφημίας) συνέταξε συναγωγῇ, εἰς συνήθειαν ἦλθον τῆς διεφθαρμένης διδασκαλίας· συνεκτρέφονται τὰ νήπια τῆς Ἐκκλησίας τοῖς ἐν λόγοις τοῖς (ἵν' οὕτως εἴπωμεν ἡμεῖς) τῆς ἀπάτης· τί γὰρ καὶ ποιήσωσι βαπτίσματα παρ' ἐκείνων, προπομπαὶ τῶν ἐξοδευόντων, ἐπισκέψεις τῶν ἀσθενούντων, παρακλήσεις τῶν λυπουμένων, βοήθειαι τῶν καταπονουμένων, ἀντιλήψεις πανταχόθεν, μυστηρίων κοινωνίαι, ἃ πάντα δι' ἐκείνων ἐπιτελούμενα, σύνδεσμος γίνεται τοῖς πολλοῖς, τῆς πρὸς αὐτὰς ὁμονοίας; ὥστε μικροῦ χρόνου προελθόντος, μηδὲ (εἰ γένοιτο τις ἄδεια) ἐλπίδα λοιπὸν εἶναι τοὺς ὑπὸ τῆς χρονίας ἀπάτης καταχρωσθέντας, πάλιν πρὸς τὴν ἐπίγνωσιν τῆς ἀληθείας ἀνακληθῆναι· ἐν τούτοις Βασίλειος τὰ οἰκεῖα θρηνῶν, τῶν ἡμετέρων σχεδὸν προεζωγράφισε τὴν εἰκόνα· Ἀλλὰ μὴ συλληθῶμεν ἀδελφοὶ τὸν τῆς
β Κορινθ. δ. ὀρθοδοξίας θησαυρόν, κἂν ἐν ὀστρακίνοις (λέξω γὰρ πάλιν ἡδέως τὰ τοῦ Παύλου) φερόμενον σκεύεσι, τὰς ἡμετέρας λέγω ταλαιπωρίας, τὰς πενίας, τὰς ὑστερήσεις, οὐ μόνον τῆς λοιπῆς τοῦ βίου εὐημερείας, καὶ πρὸ πάντων, καὶ ὑπὲρ πάντα, Χριστὸς ἡμῖν ἔστω, καὶ πτωχός, καὶ ξένος, καὶ γυμνός, καὶ πάσχων, καὶ θανατούμενος θάνατον σταυροῦ· τοῦτον μὴ αἰσχυνθῶμεν διὰ τῆς μωρίας τοῦ κηρύγματος, οὐκ ἐν τῇ σοφίᾳ τοῦ κόσμου σῶσαι τὸν κόσμον εὐδοκήσαντα· οὗ ἡ χάρις καὶ τὸ ἔλεος, εἴη μετὰ πάντων ὑμῶν, ἀμήν: ζρϛ. ἐν Κωνσταντινουπόλει.

Τοῖς κατὰ Ἀπολλωνίαν εὑρισκομένοις ὀρθοδόξοις Χριστιανοῖς Ῥώσοις τε καὶ Ἕλλησι, τοῖς τε θεοφιλεστάτοις ἀρχιερεῦσιν, εὐλαβεστάτοις ἱερεῦσι, τιμίοις ἄρχουσι, καὶ παντὶ τῷ χριστωνύμῳ λαῷ, υἱοῖς ἐν κυρίῳ περιποθήτοις· χαίρειν ἔλεος καὶ εἰρήνην·

ΜΕ'χρις ἐκείνου τὸ συγγράφειν ἦν ἡδύ, μέχρις οὗ μόνον ἦν ἐπίπονον· παρεμυθεῖτο γὰρ τὸν πόνον τῆς γραφῆς ἡ τῆς σπουδῆς ἡδονή, καὶ τὸ τῶν ἐντυγχανόντων ἐλπιζόμενον τοῖς συγγράφουσιν ὄφελος· Ἐπεὶ δὲ κίνδυνον φέρει τὸν ἔσχατον τὸ γράφειν, ἀμβλύνεται μὲν ἡ ἐπὶ τοῦτο πᾶσα ὁρμή, γράφομεν δὲ (εἴπου τι δέοι) κατ' ἀνάγκην μετ' ἀηδίας· τοῦτο μοι τῶν ἡμερῶν ἡ πονηρία προὐξένησεν· ἀφ' οὗ δὴ πρεσβεύσας, τοὺς Σκύθας μὴ διαπράξαντας τὸν ἱερὸν ἐκστρατεύεσθαι κατὰ Χριστιανῶν, καὶ εἰσακουσθείς, τηλικοῦτον ἐπεσπασάμην τὸν κίνδυνον, ὥστε μόλις τὴν ἐπὶ θανάτῳ ἐκφυγεῖν ζημίαν· ζῶν δὲ νῦν, οὐ πόρρω πικροτάτου θανάτου· διὰ τοῦτο ἐβουλόμην καὶ ὑμᾶς ἡσυχάζειν, τῶν ζητήσεων ἀφεμένους· καὶ γὰρ καὶ ὑμῖν ἀσφαλὲς τῶν πατρῴων ἀπεριεργάστως ἔχεσθαι δογμάτων τε καὶ ἠθῶν, καὶ ἡμῖν οὐκ ἐπικίνδυνον ἀπαλλαττομένοις περιο-

είων

ρίων ἐπιστολῶν· οὐ γὰρ ἀκινδύνως περιπολοῦσι τὰ γράμματα (μάλιστά γε τὰ ἐμὰ πὴν
νῦν ἔχον) τῶν πολέμων ἀκμαζόντων, ὕποπτά τε κατασκευαζόντων πάντα σχεδόν.
Ἀλλὰ φέρε καὶ νῦν πρὸς ἃ γράφετε ἀντεπιστέλλομεν· ῥίψομεν καὶ τάδε τὰ γράμματα, Θεῷ
τεθαῤῥηκότες τῷ φιλανθρώπῳ, τῷ τὰ ἡμέτερα λόγοις ἀῤῥήτοις περιέποντι καὶ ὁδηγοῦντι
καὶ οἰκονομοῦντι κρεῖττον ἢ ἐλπίζομεν. Πρῶτον μὲν οὖν παρακαλῶ, μὴ περιεργάζεσθαι ὑ-
μᾶς δὴ μωμοσκοποῦντας τὰ τῆς Ἐκκλησίας δόγματά τε καὶ ἤθη καὶ τάξεις· τὸ μὲν εἰ-
δότες, ὅτι τοῖς πατράσιν οὐδὲν ὅλως δεδοκίμασται ἀναξίως τοῦ πνεύματος· πῶς γὰρ οἱ
τοῦ πνεύματος φρονήσαντες προβάλοιεν ἄν τι ἀπᾷδον τῷ πνεύματι; τὸ δὲ, ὅτι κρεῖττόν ἐστι,
καὶ τὴν βλάβην ἧττον ἀπείρους, τῇ τῶν πολλῶν ἀσθενείᾳ συγκατιόντας φέρειν τι, ἢ διὰ τὸ
ἀκριβοδίκαιον συγχέειν τὸ πᾶν· οὕτω Παῦλος καὶ Ἰουδαίοις γέγονεν Ἰουδαῖος, καὶ ἀνό- “Κορ α.
μοις ὡς ἄνομος, μὴ ὢν ἄνομος Χριστῷ, ἀλλὰ τοῖς πᾶσι γέγονε τὰ πάντα, ἵνα τοὺς “κεφαλ. θ.
πάντας κερδήσῃ· καὶ μὴ διασπῶμεν τὴν Ἐκκλησίαν ἀπὸ μικροψυχίας βραχέσι τισὶν ἀπαρε-
σκόμενοι· Μὴ ἔχθαιρε τὸν φίλον (φησὶν οὐκ ἀμούσως ἐκεῖνος) ἁμαρτίας εἵνεκα μικρᾶς· μὴ “Πυθαγόρ.
ζητοῦμεν προφάσεις (κατὰ τὸν Σολομῶντα εἰπεῖν) βουλόμενοι τὰ τῆς φιλίας διασπᾶσαι·
εἰ μή που τις τῶν δογμάτων αὐτὴν ἐπὶ τὴν ἀναχώρησιν βιάζεται· τότε γὰρ χώραν ἕξει
ἡ τοῦ Χριστοῦ μάχαιρα, ἣν βαλεῖν ἦλθεν ἐπὶ τῆς γῆς· καὶ ἡ σωτήριος μάχη τῆς κακῆς
εἰρήνης φιλικωτέρα· τὸ γὰρ μέλος τὸ ἀσθενὲς ἐν τοῖς ὑγιαίνουσι ῥᾳδίως θεραπεύεται μὲν,
γίνεται δὲ τοῖς [illegible] τοῦ προσκόπτειν ἀφορμὴ, καὶ τοὺς μὴ παραπαίειν πεφυκότας·
τοῦτο μὲν οὖν πρῶτον παρακαλῶ, ὑφορώμενος καὶ τὰς ἐκ τῶν ζητημάτων διχοστασίας, καὶ
φιλονεικίας, καὶ διαιρέσεις, καὶ διαμερισμοὺς, καὶ ἐρημώσεις· ἀλλὰ καὶ ζητοῦντες, οὐκ ἂν ἔχοιτε
ῥᾳδίως τὸν ἀνοίξοντα τῶν κεκλεισμένων τὰς εἰσόδους· διὰ τοῦτο (ἐγὼ οἶμαι) κελευόμεθα “
μὴ ὑπερφρονεῖν, παρ᾽ ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν· καὶ τὸ, Ἡ γνῶσις φυ- “
σιοῖ, ἡ δ᾽ ἀγάπη οἰκοδομεῖ· ἀκεραίους εἶναι βούλεται ὁ λόγος τοὺς οἰκείους ὡσεὶ περιστεράς· “
ἢ καὶ φρονίμους ὡς οἱ ὄφεις, ἵνα μή τις ἐξαπατᾷ κενοῖς λόγοις, τῆς τοῦ κόσμου δηλονότι
σοφίας, ἥτις μωρία παρὰ Θεῷ ἐστι, καὶ οὐ δέχεται τὰ τοῦ πνεύματος· Τὰ καὶ καθ᾽ ἡμᾶς, οὐκ “Κορ α.
ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις· μὴ οὖν πάντα περιεργαζόμεθα, τῇ τοῦ κόσμου σο- “κεφαλ. β.
φίᾳ ἐπιτρέποντες τὸ πᾶν· δῶμεν τῷ πνεύματι ἑαυτοὺς· ἀκολουθῶμεν τῇ Ἐκκλησίᾳ τοῦ “
Χριστοῦ· ἐκεῖνο τὸ προφητικὸν ἐννοῶμεν, τὸ Κτηνώδης ἐγενήθην παρὰ σοὶ, ἐγὼ δὲ δια- “ψαλ.
παντὸς μετὰ σοῦ· τὴν γὰρ σοφίαν ἀπωσάμενοι τοῦ κόσμου, καὶ κατ᾽ αὐτὴν ἄσοφοι φαινόμενοι, “
καὶ τῇ ἁπλῇ τοῦ πνεύματος ἀκολουθοῦντες διδασκαλίᾳ, κτηνώδεις μὲν τῇ σοφίᾳ τοῦ
κόσμου γινόμενοι, καὶ Θεῷ πεισάμενοι δίχα τῆς τοιαύτης σοφίας, μετὰ Θεοῦ πάντως ἐσμὲν
Θεῷ συγγινόμενοι· μὴ οὖν περιεργάζεσθε ἀδελφοί· μάλιστα δὲ ὅτι διδασκάλων ἀποροῦ-
μεν, τὰς ἀμφισβητήσεις δυναμένων ζώσῃ φωνῇ διαλύειν· Ἆρ᾽ οὐ γὰρ τὰ πρέποντα Θεῷ παρα-
χωρήσει δικαίως, ὁ πρόδρομος τοῦ ἀντιχρίστου ἐπικρατήσασα πλάνη τῆς ἀραβικῆς ἀλώπε-
κος, τῆς καταχεομένης τῷ τοῦ Χριστοῦ εὐαγγελίῳ εἰς τὴν τοῦ ἀμπελῶνος Χριστοῦ λύ-
μην τε καὶ διαφθοράν· τὸν λύκον λέγω, τὸν ἅρπαγα, τὸν λυμηνάμενον, καὶ σπαράξαντα,
καὶ θύσαντα, καὶ ἀπολέσαντα, τὰ τοῦ Σωτῆρος πρόβατα· τὸν ἐνθύμημα δῆθεν εὐαγγελι-
κὸν βεβλημένον (γεραίρει γὰρ τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, ὁ τοῦ εὐαγγελίου πολέμιος· καὶ
αὐτὸν τὸν Χριστὸν κηρύττει λόγον Θεοῦ, ὁ Θεὸν εἶναι ἀρνούμενος τὸν Χριστόν· οὕτως ἀσύλλο-
γιστον ἡ πονηρία· εἶναί τε βούλεται ἑαυτὸν, τὸν ἐν εὐαγγελίοις ἐπηγγελμένον παρὰ Χριστοῦ
ὁ ἀπατεὼν, ὁ πνευματομάχος, καὶ οὐδὲ ὅλως ἀπὸ τοῦ παναγίου καὶ ζωοποιοῦ πνεύματος

(περὶ τῆς τυφλωττούσης βλασφημίας) ὁ Χριστοῦ ἐχθρὸς ὁ σαρκικὸς, ὁ τὴν γαστέρα καὶ τὰ ὑπὸ γαστέρα θεοποιήσας, καὶ τιθέμενος εὐδαιμονίαν ὁ κακοδαίμων τῆς σαρκὸς τὴν εὐπάθειαν καὶ ἐμπαθῆ βιοτήν· ὁ κατὰ Χριστοῦ ποικιλότροπα στρατευόμενος· ὁ σκότος ἀραβικὸν ἀντὶ φωτὸς εὐαγγελικοῦ τῆς οἰκουμένης ἁπάσης καταχέας) ἀφ' οὗ δὴ οὖν τὰ πρῶτα κρατήσαντα ἡ πάνδημος αὕτη λύμη καὶ φθορὰ, τὰς μὲν βίβλους τῆς καθ' ἡμᾶς, καὶ τῆς ἑλληνικῆς σοφίας κατακαῆναι προστάξασα, πειρωθεῖσά τε τὴν ἐρασμιὸν φωνὴν τὴν ἑλληνικήν· ὅτε καὶ (καθά μοι Ἰωακεὶμ τὶς γέρων διηγεῖτο) κατ' Αἴγυπτον τριάκοντα χιλιάδες ἀπετμήθησαν γλωσσῶν ἡμέρᾳ μιᾷ, λαλήσασαι μόνον ἑλληνικῶς· ἀφ' οὗ τοίνυν τὰ ζιζάνια ταῦτα παρασπαρέντα, καὶ αἱ θανατηφόροι αὗται συμφυεῖσαι ἄκανθαι, τὸν πυρὸν ὑπερνικῆσαι καὶ καταπνῖξαι φιλονεικοῦσαι τὸν εὐαγγελικὸν, ἀφ' οὗ φημὶ τὰ δεινὰ ταῦτα τὴν οἰκουμένην κατέλαβον κακὰ, τὰ τῆς σοφίας τοῦ Θεοῦ νάματα συστέλλεσθαι ἀρξάμενα, τὰ καθ' ἡμᾶς ἐν αὐχμηρείᾳ κατέλιπε· πείνη τε καὶ δίψη τῆς οἰκουμένης κατέδραμε· καὶ γὰρ καὶ ἕως τὰ ἑσπέρια κάκωσιν ὑπέμεινε πέρα δεινῆς· οἱ μὲν γὰρ περιδήλως αἰχμάλωτοι εἰς τοῦτο κακῶν ὤκειλαν, ὥστε μόλις τὴν τοῦ Χριστοῦ πίστιν διασώζειν, ἀκήρατον μέντοι Θεοῦ χάριτι καὶ ἀκίβδηλον μετὰ πολλῶν μὲν κινδύνων καὶ χαλεπῶν· οἱ δὲ τοιαύτης μὲν αἰχμαλωσίας (Θεοῦ φιλανθρωπίᾳ) καὶ τῶν ταύτης δεινῶν μεμενηκότες ἀμέτοχοι, σάλοις ἄλλαις κατὰ μικρὸν ὑφιστάμενοι οὐκ ἀνενόχλου οὔσης ἑκατέρων τῶν δεινῶν τῆς Ἐκκλησιῶν διαιρέσεως, ἣν τὸ ὑπέρογκον τῆς δόξης τῶν φιλονεικούντων εἶναι αὐτὶ Χριστοῦ, παρεσκεύασέ τε καὶ κατειργάσατο) προσπαλαίουσι καὶ αὐτοὶ συγχύσεων ἄλλαις συμφοραῖς· οὕτως οὐδὲ τῆς ἡμῶν σωτηρίας ὁ ἐχθρὸς καὶ πολέμιος, ἄλλοις ἄλλους καταπιτρώσκειν πυρακτωμένοις βέλεσιν, εἰς ἕνα πολυτρόπως ὠθούμενος πάντας βάραθρον ἀπωλείας, καὶ οὐδένα φιλοτιμούμενος τῶν ἰδίων ἀφεῖναι τεχνασμάτων ὁ πανώλης ἀπείραστον· συνιζούσης οὖν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας τῶν εὐσέβειαν διδασκόντων, μὴ περιεργάζεσθαι τὰ τῆς Ἐκκλησίας συμβουλεύσαιμι ἂν, ἀρκούμενοι οἷς ἐνομοθέτησαν οἱ πατέρες, οὐδεμίαν προσθήκην ἢ ἀφαίρεσιν προσιεμένους, φυλάττοντας δὲ τὰ δόγματα ἀπαράτρεπτα, καθὼς (Θεοῦ φιλανθρωπίᾳ καὶ χάριτι) ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἡ Ἀνατολικὴ δηλαδὴ φυλάττει, τὰς δὲ ἀσθενείας τῶν ἀδελφῶν φέροντες ἐν πνεύματι πρᾳότητος κατὰ τὴν παραγγελίαν τὴν ἀποστολικὴν, καὶ μὴ εὐθὺς ὡς ἴδῃ τις ἀδελφὸν (καίπερ οὐ τοῦτο πρῶτον ἀπορεῖται) κρέα προσφέροντα τῇ Ἐκκλησίᾳ, ὥστε εὐλογηθῆναι ἢ ἁμαθίᾳ, τὴν ἁπλότητα ταύτην τῆς εὐλαβείας καλεῖσθαι ἀσέβειαν καὶ εἰδωλολατρείαν. Ἀλλὰ καιρὸς τῶν ζητημάτων ἐφάψασθαι, ἀρξάμενος ἀπὸ τοῦ πρώτου, καὶ ἀποκρίνεσθαι κατὰ τὸ ἐγχωροῦν.

Περὶ τοῦ Μεσίτου.

Περὶ μὲν τοῦ μεσίτου (τοῦτο γὰρ πρῶτον προβάλλεται) θαυμάζω εἶναι τινὰς, καὶ Χριστιανοὺς εἶναι νομίζοντας μετὰ τὴν ἀνάληψιν μὴ εἶναι μεσίτην τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. αἰσχύνεται δηλονότι μεσιτεύειν Θεὸς ὤν· οὐκ ἦν ἄρα καὶ πρὸ τῆς ἀναλήψεως Θεός· οὐ τότε μὲν μετὰ σαρκὸς ἐμεσίτευε ἢ ἐμεσίτευσε, μετὰ δὲ τὴν ἀνάληψιν, τὴν ἀνθρωπίνην ἀποβαλλόμενος φύσιν, γυμνὸς πάλιν ἀπῆλθε Θεὸς, ὡς πρὸ τῆς κατὰ σάρκα οἰκονομίας· ἄρα ᾐσχύνθη τὴν πεπονθυῖαν φύσιν φέρειν Θεός; ἀλλὰ καὶ ἀνέστη μετὰ δόξης, καὶ μετ' αὐτῆς ἐν δόξῃ ἀνελήφθη, καὶ μετ' αὐτῆς ἐκάθισεν ἐν δεξιᾷ τοῦ πατρὸς, καὶ τὸν αὐτὸν ἐλεύσεται τρόπον, καθ' ὃν καὶ ἀνελήφθη (ἀγγέλων φωνὴ) καὶ μετὰ σαρκὸς ὀφθήσεται ἐν δόξῃ· καὶ τὰ στίγματα φέρει ὥς τινας ὑπερβαλλούσης ἀγάπης ὡραιοτάτους αὐγὰς, μεθ' ὧν καὶ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων ἐμφαίνεται τῷ πατρὶ τῆς πρὸς τὸν πατέρα μέχρι θα-

νάτου

νάτου ὑπακοῆς, καὶ τῆς περὶ τὰ πλανηθέντα πρόβατα μέχρι θανάτου στοργῆς τὰ τεκμήρια φέρων, καὶ ἐπὶ τούτοις ἐγκαλλωπιζόμενος· τίς γὰρ ἠνάγκασε Θεὸν κενωθῆναι τῆς ὑπερθέου δόξης, τοὺς ἀψῖδας κλίναντα τὰς οὐρανίους, ἐπὶ τὴν γῆν κατεληλυθέναι, ἐνανθρωπηκέναι, παθεῖν, εἴπερ ἦν αἰσχύνη τὸ πρᾶγμα Θεῷ; δόξαν ὑπερβάλλουσαν ἡγήσατο τὸν σταυρὸν ὁ Σωτὴρ, καὶ τιμὴν τὴν ἀτιμίαν, καὶ ὕψωσιν τὴν ταπείνωσιν· οἷόν τις ἐραστὴς ὑπερφυὴς ἐμπομπεύων μεθ' ὧν διὰ τὸ ἐρᾶν πέπονθε πληγῶν· ἔρωτι τετρωμένην (ὥς φησιν ἐν τοῖς ᾄσμασιν ἡ θεία γραφὴ) τὴν καρδίαν, ἔρωτι δεικνύων δι' ὧν ὑπέστη, καὶ φέρει τραυμάτων ἐν σαρκὶ· οὐκ αἰσχύνη, ἀλλὰ δόξα καὶ ἡδονὴ τῷ ἐραστῇ τὰ τοῦ ἔρωτος· ἀγωνίζεται γὰρ ἐμφυτεῦσαι τῷ ἐρωμένῳ ὑποθέσεις καὶ θέλγητρα ἔρωτος· καὶ οὐκ ἀποβάλλεται ὥσπερ δι' ἄκραν ἀγάπης ὑπερβολὴν, καὶ φιλανθρωπίας ἀνελάβετο, καὶ μεθ' ἧς ἡνώθη φύσεως εἰς ὑπόστασιν μίαν· οὐκ ἐπαισχύνεται τοῦ πατρικοῦ θελήματος τὴν ἐκπλήρωσιν, καὶ τὰς τῆς ἐκπληρώσεως ἐμφάσεις· οὐκ ἐπαισχύνεται τῆς πρὸς τὸ οἰκεῖον πλάσμα στοργῆς τὰς ἐνδείξεις, τῆς ἰδίας φιλανθρωπίας τὰς ὑπερβολάς· παίζουσιν ἄρα, καὶ ἀργοὶ μανθάνουσι φλυαρεῖν, οἱ μὴ φρονοῦντες μετὰ τὴν ἀνάληψιν Μεσίτην τὸν Σωτῆρα Χριστόν· τίνος γὰρ χρείαν ἀπεσκεδάσατο μετὰ τὴν ἀνάληψιν τὸ τῆς μεσιτείας ὁ Χριστὸς, διὸ καὶ κατέβη καὶ ἡνώθη σαρκὶ, σαρκὶ δὲ ἐμψυχωμένῃ ψυχῇ λογικῇ καὶ νοερᾷ (προσεπιδηλῶσαι γὰρ τοῦτο καταναγκάζουσι τὰ Ἀπολιναρίου ληρήματα) τίνος οὖν χάριν οὐ Μεσίτης ὁ Χριστὸς μετὰ τὴν ἀνάληψιν; ἆρα Μεσίτου χρεία μετὰ τὴν ἀνάληψιν οὐδεμία; καὶ τίς οὕτως ἀνόητος, ὥστε τοῦτο ἐρεῖν; ἆρα χρεία μὲν, ἄλλος δὲ ἐκπληροῖ παρὰ τὸν Σωτῆρα Χριστόν; καὶ τίς ἐστιν ὁ τηλικοῦτος, ὅστις Χριστοῦ ἐνανθρωπήσαντος, παθόντος σαρκὶ, μετὰ σαρκὸς ἀναστάντος, ἀναληφθέντος ἐν δόξῃ, καθεζομένου ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ πατρὸς, αὐτὸς ἄλλος παρὰ τοῦτον καταλλάττῃ τοὺς ἁμαρτάνοντας τῷ Θεῷ; καὶ τίς ὁ τὴν μεσιτείαν ταύτην διαμερίσας Χριστῷ, καὶ τῷ μετὰ Χριστὸν ἀναληφθέντι μεσίτῃ, ἢ τίς ὁ ὅρος τῆς καταλλαγῆς; τίς δὲ ἡ καταβαλλομένη τιμὴ καὶ τὸ λύτρον; ἆρα ἄλλο αἷμα κρεῖττον λαλοῦν παρὰ τὸ Ἄβελ; ἢ χωρὶς αἱματεκχυσίας προσγίνεται ἄφεσις; καὶ λέληθε τὸν ἀπόστολον τοῦ Χριστοῦ ἐπιστέλλοντα Ἑβραίοις, καὶ λέγοντα, Μὴ γίνεσθαι χωρὶς αἵματος ἄφεσιν; (Ἑβραίοις θ.) Μηδεὶς ἀδελφοὶ μηδεὶς νομιζέτω ἄλλον εἶναι, ἢ δύνασθαι ἄλλον εἶναι μεσίτην ἀπὸ καταβολῆς κόσμου παρὰ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· μόνος Σωτὴρ καὶ μόνος σωτηρία, καὶ μόνος μεσίτης ὁ Χριστός· Οὗτός ἐστι τὸ ἀρνίον τὸ ἐσφαγμένον (φησὶν ὁ Ἰωάννης) ἀπὸ καταβολῆς κόσμου. (Ἀποκάλ.) Οὐκ ἔστιν ὄνομα ἕτερον (φησὶν ἡ θεία γραφὴ) ἐν τῷ οὐρανῷ ἄνω, οὐδ' ἐπὶ τῆς γῆς κάτω, ἐν ᾧ ἡμᾶς σωθῆναι δεῖ, εἰ μὴ τὸ εὐλογημένον καὶ σωτήριον ὄνομα Ἰησοῦ Χριστοῦ. Οὗτος ὁ μέγας ἀρχιερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ· ἕνα Μεσίτην οἶδεν ὁ Παῦλος οὕτως βοῶν. Εἷς Θεὸς, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων ἄνθρωπος Ἰησοῦς Χριστὸς ὁ δοὺς ἑαυτὸν ὑπὲρ ἡμῶν· (Πρὸς Τιμόθεον α. κεφάλ. β.) ἐστι πρὸ τῆς ἀναλήψεως καταβὰς, καὶ χρηματίσας ἄνθρωπος, μεμενηκὼς Θεὸς, γέγονε μεσίτης· ἐστι μετὰ τὴν ἀνάληψιν μεμενηκὼς ἄνθρωπος καὶ μὴ ἐκστὰς τῆς θεότητος, ἔστιν ὃ γέγονε μεσίτης Θεοῦ καὶ ἀνθρώπων· ὁ Θεὸς καὶ ἄνθρωπος, ὁ ἄνθρωπος καὶ Θεός· μετὰ τὴν ἀνάληψιν τοιοῦτον ἔλεγε Παῦλος, Τοιοῦτον ἔχομεν ἀρχιερέα (τὸν διεληλυθότα τοὺς οὐρανοὺς λέγει) ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος· ἐν τοῖς οὐρανοῖς φησὶν ἐκεῖ ἀρχιερεὺς, ἐκεῖ καὶ μεσίτης. λοιπὸν ὁ Χριστός· οὐ προσκυλινδούμενος μέντοι (ὡς ἄν τις ὑποτοπάσειε ταχέως οὕτως καὶ δυσλο-

Ἀσμ. ε.

πρεπῶς) τοῖς τοῦ πατρὸς ποσὶ καὶ μεθ' οἰμωγῶν καὶ δακρύων ἱκετεύων περὶ ὧν πρεσβεύει· [Ἑβραι. ε.] τοῦτο γὰρ πεποίηκεν ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, ἱκεσίας καὶ δεήσεις ἀνενεγκὼν μετὰ δακρύων καὶ κραυγῆς ἰσχυρᾶς, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, ὅτι καίπερ ὢν υἱὸς, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοὴν, ὅτε καθάπαξ ἑαυτὸν προσενήνοχε τῷ πατρὶ, τότε τοίνυν δάκρυα χέας καὶ ἐπὶ πρόσωπον πεσὼν, θρόμβους αἵματος ἱδρώσας, δούλου γὰρ ἀνέλαβε μορφὴν, καὶ διακονῆσαι παραγέγονε, καὶ θεῖναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν· ἡ οὖν τῶν πραγμάτων κατάστασις, ὁ τῆς ἀδοξίας καιρὸς, ὁ τῶν παθῶν καὶ τοῦ θανάτου, ἔσχεν ἐφάπαξ τὰ δουλοπρεπῆ σχήματα, τὰ πάθη, τὰ δάκρυα, τὴν ταφὴν μετὰ τὸν σταυρόν· νῦν ἡ δόξης καὶ τιμῆς ἀποκατάστασις τῆς πεπονθυίας φύσεως, ἡ τῶν αὐχημάτων τῆς θείας φύσεως μετοχὴ καὶ πλουτισμὸς μεθ' ἧς ἡνώθη εἰς ἄκραν ἕνωσιν φύσεως ἀποβάλλει μετὰ τὰ πάθη καὶ τὴν δουλοπρεπῆ πᾶσαν ἔννοιαν· οὐκ ἀποβάλλει δὲ τὴν ἐκ τῶν παθῶν ἐνέργειαν· γέγονε γὰρ ἐνανθρωπήσας ὁ υἱὸς καὶ λόγος τοῦ Θεοῦ μεσίτης· καὶ πέπονθε σαρκὶ μεσιτεύων, καὶ σωτηρίαν αἰώνιον τοῖς πιστεύουσιν, εὕρατο μετὰ παθῶν δίχα παθημάτων νῦν, ὅπερ γέγονε μεσίτης, δηλαδὴ σωτηρίας αἴτιος αἰωνίου τοῖς πιστεύουσιν· ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ· ὃ δὲ νῦν ζῇ, τῷ Θεῷ ζῇ εἰς τὸ ἐντυγχάνειν ὑπὲρ ἡμῶν· τὸ οὖν εἶναι ὃ γέγονε, μεσιτεύειν ἐστί· καίπερ ὢν ἐν δόξῃ νῦν, ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης, δηλαδὴ δόξῃ καὶ τιμῇ ἐστεφανωμένος, ὁ διὰ τὸ πάθημα τοῦ θανάτου, βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένος Ἰησοῦς ὁ υἱὸς τοῦ Θεοῦ, προσκυνούμενος ὑπὸ τῶν Ἀγγέλων, Καὶ προσκυνησάτωσαν γάρ φησιν αὐτῷ, πάντες ἄγγελοι Θεοῦ· περὶ οὗ γέγραπται, κάθου ἐκ δεξιῶν μου· ἱεροπρεπὴς οὖν ὁ τῆς ἐκεῖ μεσιτείας τρόπος· ἐμφανίζει γὰρ αὐτὸν τῷ προσώπῳ τοῦ Θεοῦ. Ἐκάθισε φησὶν ἐν δεξιᾷ τοῦ Θεοῦ καὶ πατρός· τοῦτο αὐτὸ ἐμφαίνων, δηλαδὴ ἑαυτὸν ἐνανθρωπήσαντα καὶ πεποιηκότα τὸ τοῦ πατρὸς θέλημα· ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμὲν κατὰ Παῦλον· καθίσας οὖν ἐν δεξιᾷ τοῦ πατρὸς ἐν ὑψίστοις οὕτως ἑαυτὸν ἐμφανίζει τῷ πατρὶ, μεσίτης ὢν ἡμῶν καὶ παράκλητος· Ἐὰν γὰρ φησὶν ἁμάρτωμεν, ἔχομεν παράκλητον πρὸς τὸν πατέρα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν· οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου· ὃς καὶ ἐκάθισεν ἐν δόξῃ, συνανυψώσας ἑαυτὸν τὴν ἡμῶν φύσιν· Καὶ συνανύψωσε γάρ φησι καὶ συνεδόξασεν· οὗτος ὁ καθήμενος ἐν δόξῃ οὗτος ἐστὶν ὁ Μεσίτης ἡμῶν· ἔχει γὰρ (Παύλου φωνὴ) τὴν ἱερωσύνην ἀπαράβατον· ζῶν τε πάντοτε (ὡς αὐτὸς ἔφη) εἰς τὸ ἐντυγχάνειν ὑπὲρ ἡμῶν, σώζειν τε δυνάμενος (καὶ δὴ καὶ σώζων) τοὺς προσερχομένους αὐτῷ, τὰ τῆς μεσιτείας οὕτως ἐκπληροῖ· ἑαυτὸν ἐμφαίνων τῷ πατρὶ (τοῦτο γὰρ τὸ ἐντυγχάνειν) καὶ σώζων τοὺς προσερχομένους αὐτῷ· δι' αὐτοῦ γὰρ ἔχομεν τὴν προσαγωγήν· [Ἰωάν. ιδ.] καὶ καθὼς αὐτὸς ἔφη, Οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ δι' ἐμοῦ· εἰ μὴ γὰρ ἐστὶ καὶ μετὰ τὴν ἀνάληψιν μεσίτης ἡμῶν ὁ Χριστὸς, ὁ Σωτὴρ μόνος ὢν, ἁμαρτάνοντες δ' ὡς ἀσθενεῖς ἡμεῖς, ἐδεήθημεν (ὥσπερ δὴ καὶ δεόμεθα οἱ ἁμαρτωλοὶ) ἐδεήθημεν εἰπάτωσαν τίνος; ὁρᾷς ποῖ βαράθρων ὠθοῦσι τοὺς ἀποροῦντας οἱ λόγοι; ταπεινὰ καὶ ἀνάξια Χριστοῦ (ἵνα μὴ βλάσφημα λέγω) φρονοῦσι περὶ Χριστοῦ, οἱ τὴν μεσιτείαν αὐτοῦ ἀφαιρούμενοι μετὰ τὴν ἀνάληψιν· μὴ νοοῦντες τὸν αὐτὸν καθήμενον ἐν δόξῃ, ὃ καὶ Στέφανος [Ἑβραι. θ.] εἶδε, καὶ Παῦλος μαρτυρεῖ, ἐντυγχάνειν ὑπὲρ ἡμῶν. Οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν· ἐκεῖ οὖν καθήμενος ἐντυγχάνει· μεθ' ἡμῶν δὲ ὢν μέχρι

τῆς συντελείας τοῦ αἰῶνος, ἐν τοῖς μυστηρίοις καὶ μετὰ τῶν οἰκονόμων τῶν μυστηρίων, καὶ δι᾽ αὐτῶν ἐνεργεῖ τὴν τῶν ἀνθρώπων σωτηρίαν· ἣν οὖν, καὶ ἔστι, καὶ ἔσται, ὁ Χριστὸς, χθὲς καὶ σήμερον καὶ εἰς τοὺς αἰῶνας μεσίτης ἡμῶν, παράκλητος, σωτὴρ, οὔτε τὴν φύσιν ἣν προσέλαβεν ἑαυτῷ καθ᾽ ἄκραν ἕνωσιν εἰς μίαν ὑπόστασιν ἀσυγχύτως συνάψας ἀποβαλὼν μετὰ τὴν ἀνάληψιν, οὔτε τὸ μεσιτεύειν καὶ ἐντυγχάνειν ὑπὲρ ἡμῶν δι᾽ ὃ ἐνηνθρώπησεν ἀποσκευασάμενος· καὶ περὶ μὲν τούτων ἅλις.

Τὸ δὲ τὴν εἰκόνα τοῦ παλαιοῦ ἐξεικονίζειν χρώμασι καθὸ καὶ ῥήμασιν ὁ προφήτης ἐζωγράφησεν, οὐκ εὐθὺς ἀσεβής· ὁρατὰ γὰρ τὰ ὁραθέντα νοοῦσιν οἱ εἰκονίζοντες· οἱ δὲ τὴν ἀσχημάτιστον φύσιν σχηματίζοντες, ἁμαρτάνουσιν· οὐκ ἀσεβὲς οὖν ἐστὶν ἁπλῶς οὕτως τὰ ὁραθέντα τοῖς ἱεροῖς προφήταις ἐξεικονίζειν· ἀλλ᾽ ὤφθησαν ἐκείνοις, μὴ φρονοῦντας γε περιγραπτὸν τὸ ἀπερίγραπτον· ἀλλὰ κἂν ταῖς εἰκόσι φυλάττειν δεῖ τῆς εὐσεβείας τὸ φρόνημα, καὶ μετ᾽ εὐλαβείας καὶ σωφροσύνης, καὶ εἰκονογραφεῖν τὰς ἱερὰς εἰκόνας, καὶ ἀσπάζεσθαι· ἵνα καὶ εὐλαβείας ὑπομνήματα ὦσι, καὶ ὑποδείγματα ἀρετῆς, εἰς ἀνάμνησιν ἢ μίμησιν τῶν πρωτοτύπων ἐξεγείροντα τοὺς θεωμένους· οὐκ ἀσεβὲς οὖν τὰς ἱερὰς ὁράσεις τῶν θείων προφητῶν ἐγχαράττειν χρωματουργοῦντας· σωφρονέστερον δὲ ἐξεικονίζειν τὰ πραγματικῶς φανέντα, ἵνα μὴ εἰκόνες εἰκόνων πλάττειν δόξωμεν καὶ περιέπειν ἀνύπαρκτα· πανταχοῦ δὲ τὰς καταχρήσεις παραιτουμένους, τὴν Ἐκκλησίαν ἀδιαίρετον τηρεῖν πειρατέον· φέρειν ἀνάγκη τῶν ἀσθενεστέρων τὴν βραδύτητα· οὓς καταρτίζειν πνευματικῶς ἐν μακροθυμίᾳ, ἐν πνεύματι πρᾳότητος, μὴ πειρασθῶμεν καὶ αὐτοί, παρηγγέλθημεν.

Περὶ τῆς τοῦ παλαιοῦ εἰκονογραφῆς.

Ἀπαιτεῖν δὲ τοὺς ἱερεῖς ὀβολοὺς ἐφ᾽ ὠνίου τῶν μυστηρίων ἀπηγόρευται· δωρεὰν γὰρ λαβόντες, δωρεὰν δοῦναι προστετάγμεθα· παρέχειν δὲ τοῖς ἱερεῦσιν ἐλεημοσύνας, καὶ ταύτας αὐτὸν λαμβάνειν προσεδρεύοντας καὶ τῷ θυσιαστηρίῳ συμμεριστὰς ὄντας, οὐκ ἄτοπον, ἀλλὰ καὶ δίκαιον, καὶ ἐπάναγκες. Τὴν δὲ πνευματικὴν ἐκτελεῖν ὑπηρεσίαν, τουτέστιν ἀναδέχεσθαι τὰς τῶν μετανοούντων ἐξομολογήσεις, ἐκείνοις ἀνήκει, οἷς τοῦ δεσμεῖν τε καὶ λύειν τὴν δύναμιν καὶ σύνεσιν παρέθετο ὁ Σωτήρ· τουτέστι τοῖς ἱερεῦσι, καὶ ἱερεῦσιν, οἷς ἂν οἱ ἀρχιερεῖς δοκιμάσωσι· κρεῖττον δ᾽ ἂν εἴη τοῖς ἐπιτεταγμένοις τῷ βίῳ, καὶ οἷς ἀνακεχωρηκόσι τῶν ἐν ἄστει διατριβῶν τὸ λειτούργημα τοῦτο πιστεύεσθαι· τῶν γὰρ πνευματικῶν πνευματικωτέρας εἶναι δεῖ τὰς διατριβὰς καὶ τὰ ἐπαγγέλματα· πάντες μέντοι ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν πνεύματι ἁγιάσθαι Θεοῦ, καὶ πιστεύομεν, καὶ ὀφείλομεν· κρεῖττον δὲ τὸ πᾶν οἱ τῶν μυστηρίων οἰκονόμοι, οἱ τῶν πνευματικῶν τοῖς ἄλλοις ὑφηγηταί· καὶ τούτων πάλιν ἀκριβέστερον, οἱ τὸν μονήρη βίον ἀσπαζόμενοι· οὗτοι μέντοι καὶ ἀσφαλέστερον θεραπεύσουσι τῶν ἀσθενούντων τὰ τραύματα, καὶ ἀξιοπιστοτέρως ἐπάξουσι τὰς ἰατρείας· οὐχ᾽ ὅτι τοῖς ἱερεῦσιν ἀπηγόρευται ὅταν ἄξιοι ὦσι, καὶ θεωρίᾳ καὶ πράξει καὶ ἡλικίᾳ προβεβηκότες, καὶ παρὰ τῶν ἀρχιερέων λάβωσιν ἔκδοσιν· τοῦτο δὲ βούλομαι πάντας οὐκ ἀγνοεῖν, ὅτι τὸ χρῆμα τοῦτο ἐστὶ χαλεπώτατον· τραύματα γὰρ ἀτραυματίστως θεραπεύειν (ἐπαγγέλλεται δὲ τοῦτο ἥδε ἡ πραγματεία) καὶ ψυχικὰς νόσους ἰᾶσθαι, ἐξαίρειν τε τὸν ἄξιον ἐξ ἀναξίου, ὡς στόμα μὲν εἶναι Θεοῦ, ἔστι δ᾽ ἀμφικείμενον τὸ πρᾶγμα, μὴ ἀφικνουμένων ἡμῶν εἰς τὰ ἄδυτα τῶν παθῶν καὶ ἐνδομυχοῦντα ἐν ταῖς καρδίαις, ἢ μὴ τοῦτο δυναμένους πράττειν ἀβλαβῶς· δεῖ οὖν καὶ συνέσεως τοῖς ἐπιχειροῦσι καὶ πράξεως· πρὸς δὲ τῇ βοηθείᾳ καὶ ὁδηγίᾳ τῇ παρὰ Θεοῦ, καὶ φυλακῆς δεῖ τῆς ἀκριβεστάτης, καὶ ζήλου θείου ἀκαμάτως ἀγρυπνοῦντας ὑπὲρ τῆς σωτηρίας τῶν πολλῶν· μή ποτε θεραπεύειν ἄλλους ἐπιχειροῦντες, νόσους αὐτοὶ καὶ κῆρας ἐπισπά-

Περὶ τῶν σιμωνιακῶν.

Περὶ ἐξομολογήσεως.

σωνται

φωνται παθῶν· ἀλλὰ καὶ αἰσχροκερδείας ἐν τούτῳ μάλιστα καθαρεύειν ἀνάγκη, μὴ λανθάνωμεν εὐμβρεῖς τὰς τῶν ἁμαρτημάτων εἰσόδους παρασκευάζοντες· εἰ εὔωνον περιθῶμεν χρυσίοις καὶ ἀργυρείοις τὴν ἴασιν· οἶδα τί λέγω, καὶ δέδια· καὶ τοῖς ἰατροῖς εὔχομαι ὑγείαν, καὶ ἰσχύν, ὥστε καὶ θεραπεύειν, καὶ μὴ νοσηλεύεσθαι· ὡς ἔστιν ἀμήχανον ἐμφιλοχωρεῖν τοῖς δυσώδεσι καὶ μὴ δυσωδίας μεταλαβεῖν· οἱ δὲ ἐπὶ χρήμασι τὴν ἐπαγγελίαν μετιόντες, τὴν Ἰεζῆ λέπραν διὰ μνήμης ἐχέτωσαν.

Περὶ τοῦ περὶ τοῦ Προδρόμου νηστείας.

Τὴν τῆς ἀποτομῆς δὲ τοῦ τιμίου Προδρόμου μνήμην, καὶ ἡμεῖς διὰ νηστείας ἑορτάζομεν, παραλαβόντες τοῦτο παρὰ τῶν γερόντων, καὶ παραδιδόντες· ἀλλὰ καὶ τῶν τύπων οὕτως ὑπηγόρευσαν αἱ διατάξεις, καὶ τοῦτο μὲν κρεῖττον ἡγούμεθα· Εἰ δέ τινες ἱλαρόν τι (ἵνα μὴ εὐπαθέστερον εἴπω) διανοούμενοι, ἁβροδίαιτον πανηγυρήσωσιν, οὐκ εὐθὺς ἀποσκορακίσωμεν ἀδελφοὺς ὄντας τοὺς τοιούτους· Οὔτε γὰρ ἐὰν φάγωμεν περισσευόμεθα, οὔτε ἐὰν μὴ φάγωμεν ὑστερούμεθα· καὶ γὰρ οὐκ ἔστιν ἡ βασιλεία τῶν οὐρανῶν βρῶσις ἢ πόσις, ἀλλ' ἀλήθεια· καὶ δὴ τὸν ἐσθίοντα οὐ κρίνομεν, οἱ μὴ ἐσθίοντες, ἀποστολικὸν δὲ πάντως τὸ παράγγελμα.

Περὶ Μουσικῆς.

Τί δὲ καὶ περὶ Μουσικῆς ἐροῦμεν; ὅτι γεραίρομεν τὸ θεῖον καὶ διὰ ζώσης φωνῆς, ἢ καὶ φωνῶν· καὶ γάρ πού τις ᾄδει τῶν ἡμετέρων πρὸς Θεόν, Ὅσα γὰρ φωνάς, τόσα καὶ σιγάς, αἴνεις νοεράς· καὶ τὴν φωνὴν οὖν οὐ φωνὰς οὐκ ἀποδοκιμάζομεν, μόνον εὐπρέπεια, καὶ εὐσχημοσύνη πᾶσα· Ψάλλατε γάρ φησι τῷ Θεῷ οἱ ὅσιοι αὐτοῦ· πλὴν μονοφώνῳ ψαλμῳδίᾳ, ἢ πολυφώνῳ ἁρμονίᾳ τὰ θεῖα καταγεραίρειν, οὐκ ἄμουσον, πρὸς τὴν τῆς χώρας ἑκάστης συνήθειαν, ἵνα μὴ σκανδαλίσωμεν ἢ σκανδαλισθῶμεν· Τὰς δὲ δι' ὀργάνων ἀψύχων βομβάς, καὶ ψόφους, καὶ Ἰουστῖνος ὁ φιλόσοφος καὶ μάρτυς ἀποδοκιμάζει, κοὐδέποτε τῇ Ἐκκλησίᾳ τῇ Ἀνατολικῇ τὸ τούτων μελῴδημα εἰσεκρίθη· καὶ τυχὸν τοιούτων ἦν ὀργάνων τὸ συγκροτηθὲν ᾆσμα τῶν ἐγκαινίων τῆς εἰκόνος τῆς χαλδαϊκῆς, Ναβουχοδονόσορος προστάγματι· εὐφημοῦμεν δὲ τοὺς φιλοθέους ἄνδρας ταῖς παρὰ Θεοῦ χορηγουμέναις τῇ τῶν ἀνθρώπων φύσει φωναῖς· ἐπαινεῖν δὲ τὴν μουσικὴν ὅτι τῇ ἁρμονίᾳ τὰς ψυχὰς κινοῦσα θεραπεύει (οὐχ ὅτι ἁρμονία τις οὖσα ἡ ψυχὴ ὥς πού τις ἐφαντάσθη, καὶ τῷ ὁμοίῳ χαίρουσα) ἀλλὰ τῇ συμμετρίᾳ τερπομένη, ἢ θεραπεύεται τὴν ἀσθένειαν, ἢ τὸν νωθρὸν ἐγείρεται, ἢ ἀναψύχει τὴν ἀθυμίαν, ἢ συστέλλεται τὸ οἰδαῖνον· Τοῦτο τοίνυν ἐπιλείπειν οὐ τοῦ παρόντος καιροῦ, τῆς ἀθυμίας καὶ τῶν κινδύνων συστελλόντων ἡμᾶς, καὶ ἀπειργόντων, οὐ μόνον τοῦ γράφειν, ἀλλὰ καὶ τῆς ἀναπνοῆς αὐτῆς· ἤρκει μὲν οὖν τὰ πολλὰ καὶ ποικίλα καὶ μεγάλα τῶν πόνων καὶ μόχθων κύματα τῷ ὑμετέρῳ μικρῷ τε σκάφει καὶ ἀσθενεῖ· ἐπειδὴ δὲ τοῦτο ταῖς ἁμαρτίαις ἡμῶν συγκεχώρηται, φέρωμεν γενναίως ἐν τῷ ἐνδυναμοῦντι Χριστῷ· ἔχετε τὰς ἐπὶ ταῖς ἀμφισβητήσεσι λύσεις τέκνα περιπόθητα ὡς οἷόν τ' ἦν συντομώτερόν τε καὶ ἐξεργαστικώτερον· Ὑμεῖς δὲ οὐδέποτε ἄλλοτε, ἀλλὰ νῦν μαθόντες τὰ καθ' ἡμᾶς, μή μοι κόπους παρέχετε παρακαλῶ μὴ δυναμένῳ [illegible] ἐκπέμπειν ἐπιστολάς, ἐν πολέμων καιρῷ, μέχρις ἂν τῶν τῇδε ἀπαλλαγῶμεν εἰ νεύσειε Θεός· ὑμεῖς δὲ μὴ πολυπραγμονῆτε μηδὲ σχολάζητε ζητήσεσιν, ἐξ ὧν μάχαι, καὶ παραδιατριβαί, καὶ λογομαχίαι, καὶ διαιρέσεις, τὰ μὴ ἀνήκοντα ταῖς Ἐκκλησίαις τοῦ Χριστοῦ· Δώη δὲ ὑμῖν Κύριος τὸ αὐτὸ φρονεῖν, ἐν πᾶσί τε συμφώνους εἶναι καὶ ὁμοψύχους, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ καὶ Θεῷ καὶ Σωτῆρι ἡμῶν, μνημονεύοντας καὶ τῆς ταλαιπωρίας ἡμῶν τῶν αἰχμαλώτων· ὁ Κύριος μεθ' ὑμῶν, ἀμήν. ζρϛ.

Τέλος καὶ τῷ Θεῷ δόξα.

ΚΥΡΙΟΥ ΓΕΩΡΓΙΟΥ
ΚΟΡΕΣΣΙΟΥ ΤΟΥ ΚΙΟΥ

Διάλεξις μετά τινος τῶν Φράρων.

ΓΕΩΡΓΙΟΣ.

Ἄριστον μὲν ἂν εἴη ξυμφώνησιν ἡμῖν, τῷ κυρίῳ τῆς Ἐκκλησίας σκοπῷ παρακολουθεῖν ἐθέλειν, τοῖς περὶ τὴν πίστιν τυρβαζομένοις χαίρειν εἰποῦσιν, ὦ διδάσκαλε μέγιστε· ἀλλ' ἐπειδὴ τοῦτο μὲν οὐκ ἔστι· δόξα δὲ μᾶλλον ὑμετέρα, οὐ μόνον ἐπινοηθεῖσα, ἀλλὰ καὶ ταῖς κοιναῖς ἀρχαῖς τῆς ἀληθινῆς καὶ εἰλικρινοῦς πίστεως προστεθεῖσα, οὐ μικρὰν ἐν ἀλλήλοις, Ἀνατολικοῖς τε καὶ Δυτικοῖς δηλονότι τὴν διαφορὰν ἐνέθηκε· κἀντεῦθεν πολλὰ τῶν δεινῶν ἐπιφύεται· προτείνεται γὰρ παρ' ὑμῶν καὶ συμπεραίνεται ἅμα, ἐσχάτοις περιπεσεῖν δεινοῖς τοὺς πάγιον τῇ ἀκλασείσῃ ἑδραζομένους τῆς καθολικῆς πίστεως πέτρᾳ, παρεῖναι δεῖν ὅμως τὴν τοιαύτην ἰδίως ἐξελέγξων ἀπόφασιν, καὶ ἀποδείξων προσέτι, κατὰ Θεοῦ μᾶλλον οὖσαν ἢ καθ' ἡμῶν· ἂν μὲν οὖν καὶ σοὶ δοκῇ, διακρινήσωμεν ἕκαστον, καὶ συζητήσωμεν.

ΦΡΑΡΟΣ.

Σαφῆ τὰ πάντα παρ' ἡμῖν, καὶ ἐξετάσεως δεῖται οὐδὲ μικρᾶς· ἐπεὶ καὶ φανώτερον ἡλίου τοῖς θεογραφικοῖς ἐναπαστράπτει βιβλίοις τὸ ἡμέτερον περὶ τῆς θείας προόδου κήρυγμα· κυροῦται δὲ μᾶλλον, διὰ τό, τὸν πάπαν τῆς ἀληθείας διαμαρτεῖν, ἀδύνατον εἶναι, καὶ μικρὸν γοῦν παρακύψαι τοὺς ὅρους τῆς πίστεως. Γ. Διττῶς ὦ πάτερ αἰδεσιμώτατε ἀποκρίνῃ πρὸς τὴν ἐμὴν ζήτησιν. πρῶτον, ὡς τὸ ὑμέτερον περὶ ἐκπορεύσεως δόγμα, πανταχοῦ διαλάμπει τοῖς θείοις πατράσι· δεύτερον, ὡς καὶ τὸ κῦρος μᾶλλον ἔχει, διὰ τὸ τὸν πάπαν οὐχ οἷόν τε εἶναι τῆς ἀληθείας ἐκκλῖναι. Πρὸς μὲν οὖν τὸ πρῶτον, ἐκεῖνο δὴ καὶ λέγω, τοιοῦτόν τι καὶ τῶν προστατούντων τῆς οἰκείας δόξης ἕκαστος λέγει, καὶ τὰ θεογραφικὰ παρακλέπτει διδάγματα· οὐ μᾶλλον τῇ διανοίᾳ ἐγκύπτων, ἢ παρασεσυλημένῳ τῷ γράμματι· ὃ δὴ τῆς ἀκραιφνοῦς πόῤῥω θεολογίας. Πρὸς δὲ τὸ δεύτερον προσθήσω, ἅπερ ὁ ὅρος τῆς οἰκουμενικῆς ἕκτης Συνόδου διαγορεύει· εἰσὶ δέ γε τοιαῦτα.

Συνόδ. ϛ. Ἐπειδὴ οὐκ ἐπαύσατο ἀρχῆθεν ὁ τῆς κακίας ἐφευρετὴς συνεργὸν τὸν ὄφιν εὑράμενος, καὶ δι' ἑαυτοῦ τὸν ἰοβόλον τῇ ἀνθρωπείᾳ φύσει προσαγόμενος θάνατον· οὕτω καὶ νῦν ὄργανα πρὸς τὴν οἰκείαν αὐτοῦ βούλησιν εὑρηκὼς ἐπιτήδεια· Θεόδωρον φαμὲν τὸν γενόμενον τῆς Φαρὰν ἐπίσκοπον, Σέργιον, Πύρρον, Παῦλον, Πέτρον, τοὺς γενομένους προέδρους τῆς βασιλίδος ταύτης πόλεως· ἔτι δὲ καὶ Ὠνώριον τὸν γενόμενον πάπαν τῆς πρεσβυτέρας Ῥώμης, ἓν θέλημα καὶ μίαν ἐνέργειαν, ἐπὶ τῶν δύο φύσεων τοῦ Χριστοῦ λέγοντας, καὶ πλάνην ἐμποιήσαντας τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ· καὶ τὰ ἑξῆς. Ἄθρει πάτερ καλῶς οἷα κατὰ τοῦ καταράτου ἐκείνου Ὠνωρίου ἡ ἕκτη Σύνοδος ἀπεφήνατο, πάπα μὲν ὄντος, ἐμπεσόντος δ' ὅμως εἰς ἔσχατον ἀσεβείας βυθόν· τοιγαροῦν οὐ χρὴ ἀναμάρτητον ὑποτοπάζειν τὸν ῥευστῇ ὑποκείμενον φύσει· ἐπειδὴ καὶ Ἀθανάσιος, ὡσαύτως καὶ ὁ ἱερὸς Μάξιμος, εἰ ᾔδεσάν που αὐτὴν ἀδυνάτως ἔχειν τῆς ἀληθείας παρολισθῆσαι, οὐκ ἂν μακρᾶς ἀνάσχοιντο τῆς ἀποδημίας, τὴν πρὸς ἐκεῖνον διόρθωσιν περὶ πλείστου ποιούμενοι, ἢ μᾶλλον εἰπεῖν τὴν πρὸς πάντας τοὺς δυτικούς· ἀλλ' ἐπανιτέον ἐπὶ τὸ προκείμενον, ἐξ οὗ ἄμφω ἐξέβημεν· Ἐγὼ δὲ τό γε νῦν ἔχον παραλείπω τό, τοὺς τέσσαρας ἅμα σφάλλεσθαι πατριάρχας οὐχ οἷόν τ' ἐστί), καὶ πάλαι μὲν τὴν εὐσέβειαν κηρύξαντας, καὶ τὴν οἰκουμένην λαμπρύναντας· καὶ νῦν δ' οὐδὲν ἧττον τῶν πατρικῶν ἀπρὶξ ἐχομένους ἰχνῶν (ὡς ῥᾷστόν ἐστι καταμαθεῖν τοῖς περὶ τὰς ἱερὰς βίβλους τῶν πατέρων ἐνασχολουμένοις) καθ' οὐδὲν μὲν μειονεκτοῦντας τοῦ πάπα Ῥώμης τῷ ἀξιώματι· καίπερ ὑπερτεροῦντος μόνῃ τῇ τάξει κατὰ τὸ ἀκόλουθον, διὰ τὸ πλειόνων ἄρχειν ὡς οἶμαι κατὰ τὴν ἰδίαν ἐξουσίαν. Ἀλλ' ἐπειδὴ πᾶν ὃ βούλεταί τις δεῖξαι, ἐκ τῶν σαφῶν ἐπὶ τὰ ἀσαφῆ, καὶ τῶν ὁμολογουμένων καὶ κοινῶν ἀξιωμάτων ἐπὶ τὰ ἀμφίβολα προϊὸν συμπεράσματα (καὶ γὰρ δυνάμει τοῖς ἀξιώμασιν ἐμπεριέχεται) κατεπείγεται δεῖξαι κατὰ τὴν ἁπλῶς ἀπόδειξιν· ἄγε δὴ καὶ ἡμεῖς προομολογηθησομένων τινῶν πρός τι συμπέρασμα καταντῶμεν. Φ. Ἔστω. Γ. Ὁμολογεῖται δὲ παρ' ἀμφοῖν, τὸ μὴ χρῆναι ἕτερόν τι λέγειν περὶ τῆς ἀκαταλήπτου τριάδος, παρὰ τὴν τοῦ Σωτῆρος θείαν ἀποκάλυψιν; Φ. Ὁμολογείσθω. Γ. Ἆρ' οὖν οὐχὶ ἔξωθεν, τὸ ἐκ τοῦ υἱοῦ; Φ. Ἔξωθεν μὲν αἱ λέξεις, ἔνδοθεν δὲ ἡ διάνοια παρεισάγεται. Γ. Ὁμολογεῖς τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ἐκπορεύεσθαι κατὰ τὴν γραφήν; Φ. Ναίγε, ἀλλ' οὐκ ἐκ μόνου. Γ. Τί φῄς, οὐ παρίστησιν ἡ ἀποσιώπησις διάκρισιν, ἢ μάτην τυγχάνει γε οὖσα; Φ. Ἥκιστά γε.

Ιωάν. ιϛ. Γ. Ἆρ' οὖν τὸ εἰπεῖν τὸν μονογενῆ, Ἐγὼ παρὰ τοῦ πατρὸς ἐξῆλθον, οὐ συνεπιφέρει τὸ μόνον; Φ. Συνεπιφέρεται μὲν τὸ μόνον, ἐν τῷ λέγειν τὸν Χριστόν, ἐγὼ παρὰ τοῦ πατρὸς ἐξῆλθον· ἐπειδὴ οὐ λέγεται ὁ υἱὸς τοῦ πνεύματος, ὡς ὁ Νύσσης φησίν, Οὔτε ἐστὶν οὔτε λέγεται. (Γρηγορ. Νύσσ.) Γ. Ὁμολογῶ. Φ. Ἀλλὰ τὸ πνεῦμα λέγεται τοῦ υἱοῦ· πνεῦμα γάρ ἐστι τῆς ἀληθείας· ἀλήθεια δ' ὁ υἱός· ξυμμαρτυρεῖ μου τῷ λόγῳ Βασίλειος ἐν τῷ κατὰ Σαβελλιανῶν, καὶ Ἀρείου· καὶ ὁ ἀπόστολος, (Γαλάτ. δ.) Ὅτι δὲ ἐστὲ υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον, ἀββᾶ, ὁ πατήρ. Γ. Ἔστι μὲν τὸ πνεῦμα υἱοῦ, οὐχὶ δὲ ἐξ υἱοῦ· ὁμοούσιον μὲν γάρ ἐστι τῷ υἱῷ, ὡς τῆς αὐτῆς κοινωνίας συμμετασχὸν τῷ υἱῷ τῆς παρὰ τοῦ πατρός· οὔκουν λέγεται τὸ πνεῦμα τοῦ υἱοῦ, διὰ τὸ ὁμοούσιον· ξυμμαρτυρεῖ τῷ λόγῳ Βασίλειος, καὶ ἡ λοιπὴ τῶν ἁγίων ἑταιρεία. Φ. Καὶ ὁ υἱὸς ἔτι λέγεται τοῦ πνεύματος, διὰ τὸ ὁμοούσιον, ὡς Γρηγόριος ἐν τῷ περὶ υἱοῦ λόγῳ διατρανοῖ. Γ. Ἀλλ' ἔστω ἡ ὁμοουσιότης προϋποτεθεῖσα αἰτία· τοιαῦτα γὰρ τὰ σχετικὰ τῶν ὀνομάτων, ἐν οἷς ὕπαρξις μετὰ τῆς ὁμοφυΐας δηλοῦται, ὧν ἂν λέγωνται, ἐξ ἐκείνων ἐστί, καὶ ὁμοούσια ἐκείνοις οἷς λέγεται.

γεται· ὡς εἰπεῖν, ὁ βλαστὸς τῆς ῥίζης, καὶ τὸ γέννημα τοῦ κλάδου· ἅμα γὰρ κατανοεῖται τὸν βλαστὸν ἐκ τῆς ῥίζης βλαστάνειν, καὶ τὸ γέννημα ἐκ τοῦ κλάδου εἶναι. Τοιοῦτόν τι φαίνεται καὶ τῷ ἁγίῳ πνεύματι, τῷ λέγεσθαι πρόβλημα τινός· ἅμα γὰρ συνεπάγεται ἔκ τινος προβάλλεσθαι· οὐκοῦν τῷ λέγεσθαι πνεῦμα τινός· παρίσταται γὰρ ὁμοφυΐα, καὶ οὐχὶ διάκρισις· περὶ οὗ καὶ Ἄνσελμος ὁ ὑμέτερος λατινιστὶ λέγει. Nullus intellectus capit Spiritum Sauctum esse Patris & Filii, secundùm quod alter est Pater, alter Filius: sed secundùm quod uterq; est idem Deus. « Ἀνσέλμος « Ἤγουν οὐδεὶς λογίζεται τὸ ἅγιον πνεῦμα εἶναι πατρὸς υἱοῦ, καθὸ ὁ μὲν ἐστὶ πατὴρ, ὁ δὲ υἱός· ἀλλὰ καθὸ ἑκάτερος ἐστὶν εἷς Θεός. Πρόδηλον ἄρα καὶ κατὰ τὸν ὑμέτερον Ἀνσέλμον, ὡς οὐ τῷ λέγεσθαι πατρὸς καὶ υἱοῦ τὸ πνεῦμα, δηλοῦται ἐκ πατρὸς καὶ υἱοῦ προβάλλεσθαι· προβάλλει γὰρ ὁ πατὴρ καὶ ὁ υἱὸς ὡς εἷς Θεός, καὶ Θωμᾶς ἐν τῷ κατὰ Γραικῶν ὑπομνηματίῳ ἀποβάλλεται· Εἴη γὰρ ἄν φησι τὸ πνεῦμα δημιούργημα, εἰ ὁ πατὴρ καὶ ὁ υἱός, ὡς εἷς Θεὸς προεβάλλετο τὸ πρόβλημα. « Θωμᾶς. « Φ. Ἰδοὺ ἐρώτημα ἐρωτῶ, σὺ δέ μοι συνετῶς ἀποκρίθητι· πῶς λέγεται τὸ πνεῦμα τοῦ υἱοῦ, καὶ οὐκ ἐναλλάξ; καὶ πῶς λέγεται τὸ πνεῦμα τοῦ πατρὸς καὶ ἀντιστρόφως; ὅπερ ἀποβάλλεται ὁ ἱερὸς Αὐγουστῖνος ἐν τῷ περὶ τοῦ ἁγίου πνεύματος λόγῳ· Οὐ γὰρ λέγομεν φησὶ τὸν πατέρα τοῦ πνεύματος. « Αὐγουσ. « Γ. Ἰδοὺ σαφῶς ἀποκρίνομαί σοι· ἡ τοῦ υἱοῦ φωνὴ (κατὰ τὸν θεολόγον Γρηγόριον ἐν τῷ περὶ τοῦ ἁγίου πνεύματος λόγῳ) λεγομένη τινός, ἀντίθεσιν μεθ' ὁμοουσιότητος σημαίνει· αὕτη δὲ ἡ φωνὴ τοῦ πνεύματος, ἔχει μεθ' ἑαυτῆς καὶ σχέσιν ἐξωτερικήν, καθ' ἣν οὐ μόνον λέγεται τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ἀλλὰ καὶ ἑαυτοῦ· οὐ μόνον δὲ ἑαυτοῦ, ἀλλὰ καὶ τῶν εὐσεβῶν· οὐκοῦν ὁ μὲν υἱὸς μίαν μόνην σχέσιν ἔχει, καθ' ἣν δηλοῦται ἡ ἰδία ὕπαρξις· τὸ δὲ πνεῦμα τὸ ἅγιον διπλαῖς σχέσεις πλουτίζεται· τὴν μὲν ἐνδοτέραν, ὡς πρόβλημα, καθ' ἣν λέγεται διακεκριμένως τοῦ πατρός· τὴν δὲ ὡς δῶρον, δωροῦντος δῶρον. Φ. Πόθεν δεικνύεις τὸ πνεῦμα λέγεσθαι ἑαυτοῦ, ἢ τῶν εὐσεβῶν; Γ. Πολλαχόθεν τῆς ἱερᾶς γραφῆς δείκνυμι· ἐξ οὗ δῆλον ὡς οὐ δηλοῦται σχέσις τῆς ἐκπορεύσεως τῷ λέγεσθαι πνεῦμα τινός· οὐ γὰρ ἂν ἐλέγετο μήτε ἑαυτοῦ, μήτε τοῦ υἱοῦ, μήτε τῶν εὐσεβῶν, ἢ ὅτι ἐστὶν οὔτε λέγεται, μήτε τοῦ υἱοῦ, μήτε ἑαυτοῦ, μήτε τῶν εὐσεβῶν, πρόβλημα· ἀλλ' οὐδ' ὁ υἱὸς λέγεται ἑαυτοῦ υἱός, μήτε τοῦ πνεύματος, μήτε τῶν εὐσεβῶν· ἀλλὰ μόνον τοῦ πατρὸς ἐξ οὗ ἀϊδίως ἔχει τὸ εἶναι· ὡσαύτως καὶ τὸ πρόβλημα, πατρὸς πρόβλημα· οὐχ ᾗ πατρός· ἀλλ' ᾗ προβολέως καὶ μόνου. Φ. Δεῖξον οὖν ὅτι λέγεται ἑαυτοῦ, καὶ τῶν εὐσεβῶν. Γ. Ὅτι μὲν τὸ πανάγιον πνεῦμα λέγεται τῶν εὐσεβῶν, οὐδεὶς ἀντιρεῖ λόγος· καὶ γὰρ ὁ Νυσσαέων φωστὴρ Γρηγόριος, ἐξηγούμενος τὸ ῥητὸν τὸ λέγον· Ὁρῶν δὲ τὴν πόλιν εἰδωλομανοῦσαν « Γρηγόρ. τὸ πνεῦμα τοῦ Παύλου παρωξύνετο· τοῦτο ἦν (φάσκει) τὸ πνεῦμα τὸ ἅγιον ὥσπερ ῥεῦμα « Νύσ. ἐν τῇ ψυχῇ· Ἀλλὰ καὶ ὁ θεῖος Αὐγουστῖνος ἐν τῇ ζητήσει, ἧς ἡ ἀρχή· πῶς ὁ πατὴρ πρὸς τὸν υἱὸν ἀρχή; οὕτως φησὶ λατινιστί. Quod autem datum est, & ad eum qui dedit refertur, & ad eos quibus dedit: itaque Spiritus Sanctus non tantùm Patris & Filii qui dederunt, sed etiam noster dicitur, qui accepimus: sicut dicitur Domini salus, quia dat salutem: eadem quoque, nostra salus, qui accepimus: (καὶ κατωτέρω) Cum scriptum est de Iohanne, quod in Spiritu & virtute Heliæ veniret, dictus est Heliæ spiritus, scilicet Spiritus Sanctus, quem accepit Helias. Hoc & de Moyse intelligendum est, cùm ait ei Dominus, Tollam de spiritu tuo & dabo illis, hoc est, dabo illis de Spiritu Sancto, quem iam tibi dedi. « Αὐγουσ. « « « « « « « « Τουτέστι, τὸ διδόμενον δὲ οὐ μόνον ἀναφέρεται πρὸς τὸν διδόντα, ἀλλὰ καὶ

" πρὸς ἐκείνους, οἷς δίδοται· διὰ τοῦτο τὸ ἅγιον πνεῦμα οὐ μόνον λέγεται πατρὸς καὶ υἱοῦ, οἳ
" τοῖς δεδώκασιν· ἀλλὰ καὶ ἡμέτερον, οἵτινες ἐλάβομεν· ὥσπερ λέγεται σωτηρία κυρίου, ὅτι
" δέδωκε· σωτηρία λέγεται δ' αὐτὴ καὶ ἡμετέρα, οἳ τινες ἐλάβομεν· (καὶ κατωτέρω) Ὅταν
Λουκ. α. " γράφεται περὶ Ἰωάννου, ὅτι Ἐν πνεύματι καὶ δυνάμει Ἠλιοῦ ἐλεύσεται· λέγεται πνεῦμα Ἠ-
" λιοῦ δηλαδὴ τὸ ἅγιον πνεῦμα, ὃ ἔλαβεν Ἠλίας· οὕτω καὶ περὶ Μωσέως νοητέον, ὅταν λέ-
Αριθ. ια. " γῃ αὐτῷ ὁ Κύριος, Ἀφελῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἐπιθήσω αὐτοῖς· τουτέστι δώσω αὐ-
" τοῖς ἀπὸ τοῦ πνεύματος, ὃ ἔδωκά σοι. Εἰκότως ἄρα λέγεται τὸ πνεῦμα τοῦ μὲν υἱοῦ, ὡς
δῶρον· ἐπειδὴ πρὸς τὸν διδόντα ἀναφέρεται· δίδωσι δὲ καὶ αὐτὸ ἑαυτοῦ· καὶ κατὰ τοῦτον τὸν τρόπον ἐστὶ ἐκπορεύεται ἀφ' ἑαυτοῦ, ἤγουν προέεισιν· ὦ ὑμεῖς χρῆσθε, ἀντὶ τοῦ ἐκπορεύεσθαι, κοινῶς ἐκλαμβάνοντες τὸ ῥῆμα, ὅπερ ἡμεῖς εἰδικῶς. Φ. Οὐδέποτε εἶδον ἐγὼ ὅτι τὸ πνεῦμα ἐκπορεύεται ἀφ' ἑαυτοῦ, ἢ πέμπεται, ἢ δίδοται. Γ. Ἀλλ' ἐγώ σοι καὶ τοῦτο ἀποδείξομαι· ἐάσας δὲ τὰς λοιπὰς τῶν ἁγίων μαρτυρίας, παρέξω σοι τὸν ὑμέτερον Πέτρον διδάσκαλον Λομβάρδον, λέγοντα τοιαῦτα ἐν τῷ ἰδίῳ πρώτῳ βιβλίῳ, διαιρέσει εἰκοστῇ. Hic con-
Πέτρος Λομβάρδος. siderandum est, cùm Spiritus Sanctus detur hominibus à Patre & Filio, quod est ipsum temporaliter procedere ab utroque, vel mitti, utrum etiam à seipso detur si datur à se,
" & procedit, vel mittitur à se. (καὶ κατωτέρω) Nam processio temporalis Spiritus
" Sancti, vel missio, ipsius est donatio, & ipsa est Dei operatio: procedit ergo Spiritus
" Sanctus temporaliter à se, & mittitur à se. ἤγουν, Ὧδε σκεπτέον ὅταν τὸ ἅγιον πνεῦμα
" δίδοται τοῖς ἀνθρώποις παρὰ πατρὸς καὶ υἱοῦ, ὅπερ ἐστὶ χρονικῶς αὐτὸ ἐκπορεύεσθαι ἐξ ἀμ-
" φοῖν, ἢ πέμπεσθαι, πότερον δίδοται καὶ παρ' ἑαυτοῦ· εἰ δὲ δίδωται παρ' ἑαυτοῦ, ἄρ' οὖν καὶ ἐκπορεύεται
" καὶ πέμπεται ἀφ' ἑαυτοῦ. (καὶ κατωτέρω) Καὶ γὰρ ἡ χρονικὴ ἐκπόρευσις τοῦ παναγίου πνεύ-
" ματος, ἤτοι ἡ πέμψις, ἐστὶν αὐτοῦ δόσις· αὕτη δὲ ἐστὶ Θεοῦ ἐνέργεια· ἄρ' οὖν ἐκπορεύεται
" τὸ ἅγιον πνεῦμα ἀφ' ἑαυτοῦ, καὶ πέμπεται ἀφ' ἑαυτοῦ. Ἄρα ἔχει τὸ εἶναι ἀφ' ἑαυτοῦ τὸ πνεῦμα τὸ ἅγιον. Ἀλλὰ τὸ γένος τῆς προόδου διπλόν ἐστι· τὸ μὲν ἐνδότερον, καθ' ὃ λέγεται πρόβλημα· τὸ δὲ ἐξώτερον, καθ' ὃ λέγεται δῶρον· καὶ ἐπειδὴ πρὸς τὰ ἔξω ἀδιαίρετος ἐστὶν ἡ ἐνέργεια τῆς μακαρίας Τριάδος, καὶ ἡ πέμψις ἐστὶν ἐνέργεια πρὸς τὰ ἔξω, κοινὴ ἐστὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος· ἥτις οὐ σημαίνεται ὡς ὕπαρξις τοῦ πνεύματος, ἀλλ' ὡς δωρεά· προεπινοεῖται δὲ ἡ ὕπαρξις τῆς δωρεᾶς· ἄλλο γὰρ τὸ δῶρον, καὶ ἄλλο τὸ εἶναι· καὶ πρῶτον νοεῖται ὅτι ἐστὶν, ἔπειτα ὅτι δῶρον ἐστί· καὶ κατὰ μὲν τὴν ὕπαρξιν, ἀπολελυμένως νοεῖται, καὶ μόνον τὸν πατέρα προβολέα ἔχει (ἵνα μὴ πληθυσμὸς παρακολουθήσῃ· ἐπειδὴ γὰρ αἱ ἐνέργειαι εἰσὶ τῶν ὑποκειμένων· πρὸς τὰ ἔνδον αἱ ἐνέργειαι διαιρεταί εἰσι, πρὸς δὲ τὰ ἔξω ἀδιαίρετοι) κατὰ δὲ τὸ δῶρον ἔχει τὸν δωρούμενον, ὃς εἷς Θεός ἐστι· δῶρον δὲ τὸ πνεῦμα κατὰ τὸ δωρεῖσθαι λέγεται, οὐ κατὰ τὸ εἶναι. Ἀλλ' ἡ δευτέρα πρόοδος, προϋποτίθησι τὴν προτέραν. Φ. Τοῦτο οὐδεὶς τῶν ἁγίων λέγει· οὐδὲ γὰρ τὸ φυσικὸν προϋποτίθησι τὸ ὑποστατικόν· οὔτε τὸ χρονικὸν τὸ ἄχρονον· ἀλλ' οὐκ ἂν ἐπέμπετο παρὰ τοῦ υἱοῦ, εἰ μὴ ἦν ἐξ αὐτοῦ· ἀλλὰ καὶ πέμπεται ἀφ' ἑαυτοῦ, οὐκ ἔστι δὲ ἀφ' ἑαυτοῦ, πέμπεται δὲ καὶ ὁ υἱὸς ἐκ τοῦ πατρός. Γ. Πέμπεται κατὰ τὴν σάρκωσιν· τοῦτο μὲν ὁμολογῶ κἀγώ· πρότερον μὲν ἐπέμφθη, καὶ ὕστερον ἐσαρκώθη· καὶ προεπινοεῖται ἡ πέμψις τῆς σαρκώσεως· Θεὸς γὰρ ἐπέμφθη, καὶ ἄνθρωπος γέγονεν· ἐφ' ᾧ καὶ ὁ θεῖος Ἀναστά-
Αναστάσ. Σιναΐτ. " σιος· Μηδεὶς (φησὶν) ἔλαττον νομίσῃ τὸ πνεῦμα, ὅτι πέμπεται ἐκ τοῦ υἱοῦ, καὶ ὁ υἱὸς
" γὰρ πέμπεται ἐκ τοῦ πνεύματος. Ὁρᾷς τί φησιν ὁ ἱερὸς Ἀναστάσιος, ἐν τῷ περὶ τῶν

ὀρθῶν

ὀρθῶν δογμάτων δηλαδὴ λόγῳ· ἔστι δὲ καὶ περὶ ὁμοίων ἡ δεῖξις· τοῦτο δὲ δείκνυσιν εἰληφὼς ἀπὸ τοῦ προφήτου Ἡσαΐου λέγοντος, Καὶ νῦν κύριος κύριος ἀπέσταλκέ με καὶ τὸ « Ἡσαι. μη. πνεῦμα αὐτοῦ. Ἰδοὺ λοιπὸν συλλογίζομαι· Πᾶσα ἐνέργεια πρὸς τὰ ἔξω, κοινή ἐστι τῆς ὅλης τριάδος· Τὸ πέμπεσθαι τὸν υἱὸν, ἐστὶν ἐνέργεια πρὸς τὰ ἔξω· Τὸ πέμπεσθαι τὸν υἱὸν ἄρα, κοινόν ἐστι τῆς ὅλης τριάδος· Ἡ μείζων φανερά· καὶ Δαμασκηνὸς ἔτι, Πᾶσα ἐνέργεια « Δαμασ. πρὸς τὰ ἔξω (φησὶ,) καὶ πᾶν τὸ διά τι ὂν, τῆς ὅλης θεότητος· Ἡ ἐλάττων δήλη, καὶ οὐ δεῖται ἀποδείξεως. Φ. Ἀλλ' ἄλλη ἐστὶν ἡ τοῦ υἱοῦ πέμψις, καὶ ἄλλη ἡ τοῦ πνεύματος. Γ. Οὐκοῦν πόθεν δεικνύεις τὸ πέμπεσθαι τὸ πνεῦμα παρὰ τοῦ υἱοῦ, ταὐτὸν εἶναι τῷ τοῦ παρ' αὐτοῦ ἐκπορεύεσθαι; ταὐτὸν γὰρ πράττεις, διδόμενον καὶ ζητούμενον· ἡμεῖς γὰρ ἐδείξαμεν, ὡς καὶ ὁ υἱὸς πέμπεται ἐκ τοῦ πνεύματος, καὶ τὸ πνεῦμα πέμπεται ἀφ' ἑαυτοῦ, καὶ ἐστιν αὐτοῦ, ὡς Λομβάρδος, καὶ Ῥοβαῦος, Λατινιστί· Spiritus Sanctus ad seipsum refertur. ἤγουν· Τὸ ἅγιον πνεῦμα πρὸς ἑαυτὸ ἀναφέρεται. Καὶ ἐπειδὴ πρὸς ἑαυτὸ ἀναφέρεται, ἐστὶν αὐτὸ ἑαυτοῦ· καὶ ἐξ αὐτοῦ πρόεισι· καὶ κατὰ τοῦτο Αὐγουστῖνος ἐν τῇ τοῦ Βέδα ὁμιλίᾳ, τοιάδε φησὶ Λατινιστί· Cum gratia Spiritus Sancti datur homini- « Αὐγυς. bus, mittitur Spiritus à Patre, mittitur à Filio: procedit à Patre, procedit à Filio; quia & eius missio est ipsa processio. ἤγουν, Ὅταν ἡ χάρις τοῦ ἁγίου πνεύματος δίδωται τοῖς ἀνθρώποις, πέμπεται τὸ πνεῦμα παρὰ πατρὸς, πέμπεται παρὰ υἱοῦ· ἐκπορεύεται παρὰ πατρὸς, ἐκπορεύεται παρὰ υἱοῦ· ὅτι ἡ δόσις αὐτοῦ, ἐστὶν αὐτοῦ ἐκπόρευσις· ὁ δὲ Λομβάρδος ἐν τῇ ἐξηγήσει ταύτῃ, ἐν τῷ πρώτῳ αὐτοῦ βιβλίῳ διέξεισι. Λατινιστί· His verbis apertè « Λομβάρδ. ostendit donationem gratiæ Spiritus Sancti dici processionem: sed cùm datio non sit nisi temporalis, constat quod est processio temporalis. τουτέστι, Τούτοις τοῖς ῥήμασι δείκνυσι φανερῶς τὴν δόσιν τῆς χάριτος τοῦ ἁγίου πνεύματος, λέγεσθαι ἐκπόρευσιν· τῆς δὲ δόσεως χρονικῆς μόνον οὔσης, δῆλον ὅτι ἐστὶν ἐκπόρευσις χρονική. Τοσούτῳ δὲ διαφέρει ἡ μία τῆς ἄλλης, ὅσῳ διαφέρει τὰ διακεκριμένα τῶν ἡνωμένων· καὶ ὅσῳ τὰ μὲν ἀκίνητα, τὰ δὲ κινητὰ, διὰ τῆς κοινῆς καὶ ἰδικῆς οὐσίας· καὶ ὁ θεῖος Κύριλλος ἔτι ἐν θησαυροῖς λέγει· Ὁ οὐσιώδης λόγος ἕλκει πάντα τὰ τοῦ πατρὸς πρὸς τὸν υἱὸν, οὐ κατὰ χά- « Κύριλλ. ριν· καὶ ἡ οὐσιώδης ἄρα τοῦ πνεύματος πρόοδος, καὶ χρονική, κοινὴ πατρὶ καὶ υἱῷ· ὅτι τὰ οὐσιώδη κοινά· ἐπειδὴ δὲ τὸ ἐκπορεύειν οὐκ ἔστι τῆς οὐσίας ἴδιον, καὶ ὁ οὐσιώδης λόγος ἕλκει πάντα τὰ τοῦ πατρὸς πρὸς τὸν υἱὸν, οὐ δίδοται τῷ υἱῷ, τὸ ἐκπορεύειν, ἵνα μὴ κατὰ χάριν ἔχῃ τοῦτο ὁ υἱός. Φ. Ἀλλὰ πῶς ἐκπορευόμενον οὐ πέμπεται παρὰ τοῦ υἱοῦ; πέμπει γὰρ ὁ υἱὸς τὸ πνεῦμα ἐκπορευόμενον· καὶ ἐπειδὴ ἐκπορεύει, πέμπει. Γ. Ἀκατάλληλα ὦ πάτερ, καὶ ἀνοίκεια τοῖς πράγμασι φθέγγῃ· καὶ γὰρ οἱ ἅγιοι οἱ λέγοντες τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ προϊέναι καὶ πέμπεσθαι· οἱ αὐτοὶ ἀντιλέγουσι τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ ἐκπορεύεσθαι· διδάσκει δὲ καὶ σαφέστατον ἐν τοῖς τῆς πίστεως ἀρχαίοις κανόνα, ἀκοινωνήτους τὰς τῶν ὑποστάσεων ἰδιότητας εἶναι, διὰ τὸ τὴν ὑπόστασιν ἀκοινώνητον εἶναι· καὶ πάλιν κοινωνητὰς τὰς τῆς οὐσίας ἰδιότητας, διὰ τὸ τὴν οὐσίαν εἶναι κοινήν· καὶ γὰρ ὥσπερ ἀκοινώνητον τὸ πρόσωπον, οὕτως καὶ κοινωνητὴ ἡ οὐσία· ἐν δὲ τοῖς οὐσιώδεσιν ἰδιώμασι, περιέχεται καὶ τὸν υἱὸν πέμπειν τὸ πνεῦμα, καὶ αὐτὸ ἑαυτό· καὶ τὸν πατέρα ὡσαύτως πέμπειν τά τε χαρίσματα καὶ τὴν φύσιν τοῦ πνεύματος· καὶ ὁ θεῖος Κύριλλος ἐν θησαυροῖς λέγει· Ὅτι δὲ τὸ τοῦ πατρὸς « Ὁ αὐτός. πνεῦμα, πνεῦμα φαίνεται εἶναι τοῦ υἱοῦ καὶ τοῦ πατρὸς πέμπειν ἤτοι διανέμειν ἐπαγγελλομένου τοῖς ἄλλοις, αὐτὸς διαδίδωσι πάλιν, ὡς ἴδιον ὁ υἱὸς διὰ τὴν ταυτότητα τῆς οὐσίας ἣν

ἔχει

ἔχει πρὸς τὸν πατέρα· καὶ τὰ ἑξῆς· καὶ ἀλλαχοῦ. Τίνι γὰρ αὖ ἁρμόττοι τὸ διαδιδόναι
χορηγεῖν, πλὴν τῷ φύσει τε καὶ ἀληθῶς ὄντι Θεῷ; Ἐντεῦθεν δῆλον τὸ αἴτιον δι᾽ ὃ πέμ-
πει ὁ υἱὸς τὸ πνεῦμα, καὶ ὡς διότι ὁμοούσιος ἐστὶ τῷ πατρί, καὶ ἔστι Θεός· ἃ δὴ κοινὰ καὶ
τῷ πνεύματι. Ἀλλὰ καὶ τὸ πνεῦμα φυσικῶς πέμπει τὸν υἱόν, καὶ αὐτὸς αὐτόν· ἐπειδὴ
αἱ ἐνέργειαι ἀδιαίρετοί εἰσι πρὸς τὰ ἔξω· καὶ οὐδεὶς ἐρεῖ, ὡς τὸ πνεῦμα πέμπει τὸν υἱόν,
διότι γεννᾷ αὐτόν· ἀλλὰ στέρξει ταῖς πατρικαῖς μόναις διδασκαλίαις, οὐ προϋποτιθείσαις
τὰ χρονικὰ τοῖς ἀχρόνοις, καὶ τὰ διάτι τοῖς ἀσχέτοις καὶ ἀπολελυμένοις. Φ. Τὸ πνεῦμα
λέγεται τοῦ υἱοῦ, ἢ ὡς ὁμοούσιον, ἢ ὡς δῶρον, ἢ ὡς πρόβλημα· εἰ μὲν τὸ πρῶτον, ἀντι-
στρέφει· εἰ δὲ τὸ δεύτερον, οὐκοῦν εἰ μὴ ἐδημιουργήθημεν ἡμεῖς, οὐδ᾽ αὐτὸ λέγοιτο πνεῦ-
μα υἱοῦ· τὸ ἄρα τρίτον διὰ τὸ ἄτοπον. Γ. Καὶ τὸ πρῶτον οἱ διδάσκαλοι τῆς Ἐκκλη-
Βασίλ. « σίας λέγουσι· Βασίλειος ἐν τῷ ιγ. πρὸς Ἀμφιλόχιον, Ὡς ᾠκειωμένον κατὰ φύσιν αὐτῷ·
« τοῦ αὐτοῦ. Καὶ ὁ τὸ πνεῦμα εἰπών, συμπεριέλαβε τῇ ὁμολογίᾳ ταύτῃ, καὶ τὸν οὗ ἐστι πνεῦ-
« μα· τοῦ Χριστοῦ γάρ· καὶ τὸν ἐξ οὗ· ἐκ τοῦ πατρὸς γάρ· καὶ ἀλλαχοῦ· πνεῦμα λέγεται τοῦ
υἱοῦ ὡς ὁμοούσιον· καὶ μυρίοι τῶν ἁγίων τοῦτο προσμαρτυροῦσιν, ἵνα μὴ τὸν λόγον μηκύ-
νωμεν. Καὶ τὸ δεύτερον οἱ ἅγιοι λέγουσιν· ὁ θεῖος Ἀθανάσιος ἐν τῷ περὶ τοῦ ἁγίου
Ἀθανάσ. « πνεύματος λόγῳ· Οὐκοῦν (φησὶν) εἰ κακῶς περὶ τοῦ υἱοῦ φρονοῦντες, κακῶς νοοῦσι καὶ περὶ
« τοῦ πνεύματος· ὃ ἐκ τοῦ πατρὸς ἐκπορεύεται, καὶ τοῦ υἱοῦ ἴδιον ὄν, παρ᾽ αὐτοῦ δίδοται τοῖς
Δαμασ. « ἀποστόλοις· καὶ Δαμασκηνὸς ἐν τῷ εἰς τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου λόγῳ· Πνεῦμα
«
« γὰρ ἅγιον τοῦ Θεοῦ καὶ πατρὸς ἐκπορευόμενον· ὅπερ καὶ τοῦ υἱοῦ μὲν εἴρηται, ὡς δι᾽ αὐτοῦ φανε-
« ρούμενον τῇ κτίσει καὶ μεταδιδόμενον· ἀλλ᾽ οὐκ ἐξ αὐτοῦ ἔχον τὴν ὕπαρξιν· καὶ Βασί-
Βασίλ. « λειος ἐν τῷ τρίτῳ κατ᾽ Εὐνομίου· Τὸ μὲν ἐκ Θεοῦ τὸ πνεῦμα εἶναι, τρανῶς ἐκήρυξεν ὁ
« Ἀπόστολος· καὶ τὸ δι᾽ αὐτοῦ πεφηνέναι, σαφὲς πεποίηκεν υἱοῦ πνεῦμα ὀνομάσας αὐτό· καὶ
Κύριλλ. «
« πάλιν ὁ Κύριλλος· Πῶς οὐκ ἔσται τὸ πνεῦμα Θεός, ὅλην ἔχον ἐν ἑαυτῷ τοῦ πατρὸς καὶ
υἱοῦ τὴν φυσικὴν ἰδιότητα, οὗ καὶ πνεῦμα ἐστὶ δι᾽ υἱοῦ τῇ κτίσει δωρούμενον; εἰσὶ δὲ καὶ ἄλλαι
πολλαὶ μαρτυρίαι περὶ τούτου. Ἰδοὺ λοιπὸν σαφὲς ἐστίν, ὡς τὸ πνεῦμα ἐστὶ καὶ λέγεται τοῦ
υἱοῦ ὡς ὁμοούσιον, καὶ ὡς δῶρον. Τὸ δὲ τρίτον, οὐδεὶς λέγει. Φ. Οὐκοῦν ὑπεξαιρουμέ-
νης τῆς ἡμετέρας ὑπάρξεως, οὐκ ἂν λέγοιτο τὸ πνεῦμα τοῦ υἱοῦ. Γ. Περὶ μὲν τούτου σιωπᾶν
ἐχρῆν τῆς ἐρωτήσεως οὕτως ἐπικειμένης τῇ σῇ λογιότητι, μηδὲν ὑπὲρ τὰ θεολογικὰ ῥητὰ
περιεργαζομένην· ἀλλὰ καὶ περὶ τούτου ῥητέον· ὅτι ὅμοιον ἐστὶ τοῦτο, ὡς ἂν εἰ ἔλεγέ
τις, ἀπεξαιρουμένων τῶν δημιουργημάτων, ὁ υἱὸς καὶ ὁ πατὴρ καὶ τὸ πνεῦμα τὸ ἅγιον, οὐκ
ἔχουσι τὸ δημιουργεῖν· ἀλλ᾽ ἔχουσι καὶ τὸ δημιουργεῖν καὶ κτίζειν ἀεί, κἂν μὴ ἀεὶ δημιουρ-
γῶσι· καὶ τὸ πνεῦμα τοίνυν διπλῶς λέγεται τοῦ υἱοῦ· ὡς ἔχοντος ἀεί, καὶ ὡς διδόντος· ἀεὶ
δὲ ἔχει, καὶ ὅτε βούλεται δίδωσιν· οὐκοῦν ἀεὶ καὶ πνεῦμα αὐτοῦ λέγεται· κατά τε τὸν
Αὐγουστῖνον, τὸ πνεῦμα οὐ λέγεται μόνον τοῦ διδόντος, ἀλλὰ καὶ τοῦ λαμβάνοντος· ἀεὶ
δὲ ἔχει παρὰ τοῦ πατρὸς τοῦθ᾽ ὁ υἱός· οὐκοῦν λέγεται ἀεὶ αὐτοῦ πνεῦμα ὡς δῶρον· ἄλλο
γὰρ σημαίνει εἰπεῖν δῶρον· καὶ ἄλλο δεδωρημένον· καὶ Αὐγουστῖνος ἔν τινι λόγῳ περὶ τοῦ
Αὐγους. « ἁγίου πνεύματος φάσκει. Λατινιστί. Nam donum potest etiam antequàm detur, do-
« natum autem, nisi datum fuerit, nullo modo dici potest. Ἑλληνιστί. Δύναται γὰρ
« δῶρον λέγεσθαι πρὸ τοῦ δεδόσθαι· ἀλλ᾽ οὐ δεδόμενον, ἐὰν μὴ πρότερον δίδωται. Φ. Οὐ-
κοῦν εἰ δῶρον τὸ πνεῦμα λέγεται τοῦ υἱοῦ, καὶ υἱὸς πέμπει τὸ πνεῦμα, πῶς πέμπει;
Γ. Καθὸ Θεός, οὐ καθὸ προβολεύς, καὶ ὡς δῶρον πέμπει τὸ πνεῦμα ὁμοφυές· φησὶ δὲ καὶ

ὁ θεῖος Ἀναστάσιος, Ὅτι τοῖς μὲν ἀποστόλοις τὸ πνεῦμα (Ἀναστάσιος.) δίδωσι μεθεκτῶς· τῷ δὲ υἱῷ οὐσιωδῶς, καὶ ὡς ὁμοούσιον πέμπει. Φ. Συνῆκα τὴν ἀπόκρισιν πρὸς τὴν ζήτησιν, ὡς τὸ πνεῦμα λέγεται τοῦ υἱοῦ ὡς ὁμοφυές, καὶ ὡς δῶρον αὐτοῦ· καὶ ὅτι οὐκ ἀντιστρέφει διὰ τὸ μοναδικόν, καὶ διπλόν τῶν φύσεων· δεῖ γὰρ τὰ πρός τι οἰκείως ἀποδίδοσθαι πρὸς ἃ λέγεται· καὶ ὁ υἱὸς ὡς χορηγὸς τοῦ πνεύματος λέγεται· τοῦτο μὲν καὶ ὁ θεῖος Βασίλειος λέγει, ὅπως χορηγὸς τοῦ πνεύματος ὁ υἱός· ταῦτα μὲν ὁμολογῶ· οὐκ ἀρνοῦμαι δὲ καὶ τὸ λέγεσθαι ὡς πρόβλημα· ἐπειδὴ ἐστὶν ἡ ἐκπόρευσις, ἔρως ἀμοιβαῖος καὶ ἡ γέννησις, νόησις· διπλόν γὰρ τὸ εἶδος τῆς προόδου ἐν τοῖς θείοις· τὸ μὲν διὰ τοῦ τρόπου τῆς νοήσεως· τὸ δὲ διὰ τὸν τρόπον τῆς θελήσεως. Duplex est processio tantùm in diuinis; altera secundùm voluntatem, altera secundùm intellectum. Ἑλληνιστί. Διπλῆ μόνον ἐστὶν ἡ ἐκπόρευσις ἐν τοῖς θείοις· ἡ μὲν κατὰ τὴν θέλησιν· ἡ δὲ κατὰ τὴν νόησιν. Καὶ γὰρ ὁ πατήρ ἐστι νοῦς, καὶ νοεῖ ἑαυτόν· καὶ νοῶν ἑαυτόν, ἀποτελεῖ νόησιν· ἥτις ἐστὶν ἡ γέννησις· ἔστι δ᾽ ὁ υἱὸς ἐκ μόνου τοῦ πατρός· καὶ οὕτως περατοῦται ἡ νόησις· ἔπειτα θέλει ὁ νοῦς τὸ νόημα, καὶ τὸ νόημα τὸν νοῦν· καὶ ἀγαπᾷ ὁ νοῦς τὸν οἰκεῖον καρπὸν τὸ ἴδιον νόημα· καὶ ὡσαύτως τὸ νόημα, τὸν νοῦν αὐτοῦ· καὶ οὕτως φαίνεται μία ἀγάπη, ἐκ τοῦ ἀγαπῶντος, καὶ τοῦ ἀγαπωμένου, ἥτις ἐστὶ τὸ παράκλητον πνεῦμα· καὶ διὰ τοῦτο λέγεται πατρὸς καὶ υἱοῦ, καὶ ὡς ὁμοφυές, καὶ ὡς δῶρον· ἀλλὰ καὶ οὐδὲν ἧττον καθάπερ ἀμοιβαῖος τις ἔρως. Γ. Ὅτι μὲν τὸ πνεῦμα λέγεται τοῦ υἱοῦ ὡς ὁμοφυές, καὶ ὡς δῶρον, διὰ πλειόνων δέδεικται, καὶ ὁ θεῖος Αὐγουστῖνος ξυμμαρτυρεῖ μετὰ τῶν ἄλλων· σαφέστερον δὲ ἐν τῷ λόγῳ τῶν Ἀναφερικῶν, ἐν ᾧ λέγει· Οὕτως γοῦν ὡς δῶρον λέγοντες πατρὸς καὶ υἱοῦ, οὐ δυνάμεθα λέγειν καὶ τὸν πατέρα (Αὐγους.) τοῦ δώρου, ἢ τὸν υἱὸν τοῦ δώρου· ἀλλὰ τὸ δῶρον τοῦ δοτῆρος φαμέν· καὶ τὸν δοτῆρα τοῦ δώρου· καὶ ὁ οὐρανοφάντωρ Βασίλειος, Υἱὸς (φάσκει) πνεύματος ἁγίου χορηγός, εἰς (Βασίλ.) ὑπόστασιν καὶ μόρφωσιν τῆς κτίσεως. Πόθεν δ᾽ ἐπῆκται τῇ σῇ θεολογίᾳ, τὴν γέννησιν νόησιν καλεῖν, καὶ τὴν θέλησιν (ἢ ἀγάπην) ἐκπόρευσιν; καὶ γὰρ ἡμεῖς οἴδαμεν περὶ τῷ Θεῷ, καὶ φύσιν, καὶ θέλησιν· καὶ τὴν μὲν θέλησιν, παρὰ τὰ ἔξω λαμβανόμεθα· Ἃ γὰρ φησιν ἡ θέλησιν ἐποίησε· τὴν δὲ φύσιν, πρὸς τὰ ἔνδον· (Ψευδηρ. ρλδ.) καὶ ὡς οὐδεὶς ἂν εἴποι, ἐκ τῆς φύσεως τοῦ Θεοῦ παρῆχθαι τὰ πάντα· οὕτως οὐδὲ τὸν μονογενῆ φαίη δ᾽ ἄν τις, οὔτε τὸ παράκλητον πνεῦμα, ἐκ τῆς θελήσεως τοῦ πατρὸς προϊέναι· ὁ γὰρ Κύριλλος ἐν θησαυροῖς· Οὐκ ἐκ βουλήσεως ἔχει (φησὶ) τὸν ἐκ τῆς οὐσίας αὐτοῦ προελθόντα λόγον, ἀλλὰ (Κύριλλος) φυσικῶς· εἰ δὲ τοῦτ᾽ ἀσεβές· οὐ γὰρ ἐκ βουλήσεως ἐστὶν ἡ τοῦ υἱοῦ ὑπόστασις, ὡς οὔτε ἡ τοῦ πατρός· καὶ αὖθις ὁ αὐτός. Ἀνάγκη τοίνυν τὰ τοσαύτην ἔχοντα πρὸς ἄλληλα τὴν διαφοράν, μήτε μίαν ἔχειν ἀρχήν· ἀλλὰ τὰ μὲν ὡς ποιήματα, ἐκ βουλήσεως γέγονεν· ὁ δὲ υἱός, ὡς ὢν αὐτὸς ἡ βούλησις, ἦν ἀϊδίως ἐν τῷ πατρί. Ἀλλὰ καὶ ὁ Δαμασκηνός· (Δαμασ.) Ἔργον θείας βουλήσεως, ἡ κτίσις· ἔργον δὲ θείας φύσεως, ἥτε τοῦ μονογενοῦς καὶ τοῦ παναγίου πνεύματος ὑπόστασις. Ἀλλ᾽ οὔτε ἐκ τῆς τοιαύτης καταλήψεως ἔχεις συμπεραίνειν, ἐκ τοῦ υἱοῦ τὸ πνεῦμα ἐκπορεύεσθαι· θέλει γὰρ καὶ ἀγαπᾷ καὶ τὸ πνεῦμα τὸν υἱόν· καὶ ἀγάπη ὁ υἱὸς ὥσπερ καὶ τὸ πνεῦμα· καὶ ὁ ἀπόστολος, ὃς μετέστησεν ἡμᾶς (φάσκει) εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ. Φ. Τὰ ῥητὰ τῶν ἁγίων ὕστερον ἐπεξελθοῦμεν· νῦν δὲ λέγω, ὡς ἡ ἀγάπη διπλῶς νοεῖται· ὡς ἔρως, καὶ ὡς θεῖος ἔρως· καὶ κατὰ μὲν τὸν πρῶτον τρόπον, οὐ καταστημαίνεται ὥσπερ τελειότης, μήτε δι᾽ ὑπαρκτικοῦ τρόπου· ἀλλ᾽ εἴδους καὶ πάθους· ἔστι γὰρ ὥσπερ τις ἵμερος· κατὰ δὲ τὸν δεύτερον τρόπον, ἡ θεῖος ἐστὶν

ἔρως,

ἔρως, ἐν ᾧ πᾶσα τελειότης νοεῖται εἰδικῶς, καὶ γνωριστικῶς, ἐν τῷ πνεύματι ἐστὶ καὶ τῷ τοῦ πνεύματος ἔρωτι· ἀγαπῶνται πρὸς ἄλληλα τὰ θεῖα πρόσωπα, καὶ ἐξ αὐτῶν ὁ τοιοῦτος ἔρως πρόεισιν· καὶ ὥσπερ τῇ σοφίᾳ τῷ υἱῷ σοφός ἐστιν ὁ πατήρ, ἥτις προάγεται ἐξ αὐτοῦ, οὕτως ἀγαπῶνται πρὸς ἄλληλα τὰ θεῖα πρόσωπα, ὁ πατὴρ καὶ ὁ υἱὸς τῷ ἀμοιβαίῳ αὐτῶν ἔρωτι, ὅς ἐστι τὸ πανάγιον πνεῦμα. Γ. Ἀκήκοα σου τελείως διαιροῦντος τὴν ἀγάπην· τὴν μὲν, ἐν τοῖς κτιστοῖς· τὴν δὲ, ἐν τῷ Θεῷ· καὶ ταύτην διττῶς· τὴν μὲν εἰδικὴν, ἤγουν οὐσιώδη· τὴν δὲ γνωριστικὴν, ἤτοι προσωπικήν· καὶ ταύτῃ ἀγαπᾶσθαι τὰ θεῖα πρόσωπα· καὶ τὸν πατέρα εἶναι σοφὸν, τῇ ἰδίᾳ σοφίᾳ τῷ υἱῷ· οὐκοῦν σοφός ἐστιν ὁ πατὴρ τῇ ἰδίᾳ σοφίᾳ τῷ υἱῷ; Φ. Ναίχι. Γ. Κατὰ τῆς θεολογίας τοῦτό ἐστιν· εἴη γὰρ ἂν αἴτια ὁ υἱὸς, τοῦ εἶναι σοφὸν τὸν πατέρα· καὶ ἔχοι ἂν ὁ πατὴρ παρὰ τοῦ υἱοῦ

Δαμασ.

τὸ λέγεσθαι σοφός· οὐκοῦν ψεύδεται ὁ θεῖος Δαμασκηνὸς λέγων, Πάντα ὅσα ἔχει ὁ υἱὸς παρὰ τοῦ πατρὸς ἔχει. Ἀποδείκνυμι κατὰ τὸν Αὐγουστῖνον· παρίτω Λομβάρδος πάλιν

Λομβάρ.

ὁ ὑμέτερος διδάσκαλος, καὶ καταψηφίσεται· λέγει τοίνυν Λατινιστί. Propterea diligenter notandum eſt, quod eâ ratione qua Pater non dicitur ſapiens eâ ſapientiâ quam genuit, videtur fore dicendum quod Pater non diligat Filium, vel Filius Patrem eâ

Αὐγουσ.

dilectione, quæ ab utroque procedit: & Auguſtinus corrigit in libro 1. Retract. etenim prius, inquit, animadverte lector, Patrem dici ſapientiam genitâ ſapientiâ: & alibi corrigit, inquiens, quod non dicitur ſapiens eâ ſapientiâ quam genuit. Ἑλληνιστί. Διὰ τοῦτο ἀκριβῶς προσεκτέον· ὅτι καθὸ πατὴρ οὐ λέγεται σοφὸς ταύτῃ τῇ σοφίᾳ ἣν ἐγέννησε· δοκεῖ λέξειν ὅτι πατὴρ οὐκ ἀγαπᾷ τὸν υἱὸν, ἢ ὁ υἱὸς τὸν πατέρα, τῇ αὐτῇ ἀγάπῃ, ἣ ἀφ' ἑκατέρου ἐκπορεύεται· καὶ Αὐγουστῖνος ἐπιδιορθοῖ ἐν τῷ πρώτῳ βιβλίῳ τῶν ἐπιδιορθώσεων· καὶ γάρ φησι, πρόσεχε πρότερον ὦ ἀναγνῶστα τὸν πατέρα λέγεσθαι σοφίαν τῇ γεννηθείσῃ σοφίᾳ· καὶ ἀλλαχοῦ ἐπιδιορθοῖ λέγων, ὅτι οὔτε λέγεται σοφὸς τῇ αὐτῇ σοφίᾳ ἣν ἐγέννησε. Τοιαῦτα καὶ Αὐγουστῖνος λέγει· Ὅρα δὲ καὶ Πέτρον Λομβάρδον περὶ τούτου· εἰ γὰρ καὶ εἴρηκε τὸν πατέρα σοφὸν τῇ ἰδίᾳ σοφίᾳ εἶναι, ἀλλαχοῦ ἐπιδιορθοῦται· τοιαῦτα δὲ καὶ πολλάκις διαπράττεται· ἁμαρτάνων γὰρ ἐν τοῖς ἑαυτοῦ βιβλίοις, ἀλλαχοῦ ἐπιδιορθοῦται· ὥς που φησὶ, σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ, ἤγουν ἐπὶ τῷ Πέτρῳ οἰκοδομεῖται ἡ Ἐκκλησία· ἀλλαχοῦ δὲ οὐκ ἐπὶ τῷ Πέτρῳ λέγει,

Αὐγουσ.

ἀλλ' ἐπὶ τῷ Χριστῷ· οὕτω ποιεῖ καὶ περὶ τῆς θείας ἐκπορεύσεως, ἁμαρτάνων πολλάκις, ἀλλαχοῦ ἐπιδιορθοῦται· ἵνα συγχαρήσωμεν κατὰ τὸ παρὸν, καὶ γνήσια τοῦ Αὐγουστίνου εἶναι βιβλία. Ἀλλ' ἐπανιτέον ἐπὶ τὸ προκείμενον· λέγω ἄρα ὡς ὁ πατὴρ οὐκ ἔστι σοφὸς τῷ υἱῷ, ἀλλὰ τῇ θείᾳ σοφίᾳ· οὕτως οὐθ' ὁ πατὴρ ἀγαπᾷ τὸν υἱὸν, οὐθ' ὁ υἱὸς τὸν πατέρα, τῷ πνεύματι τῷ ἁγίῳ· ἀλλὰ τῇ θείᾳ οὐσίᾳ, ἢ τῇ οὐσιώδει αὐτῶν ἀγάπῃ· καὶ τὸ πνεῦμα ἀγαπᾷ τὸν υἱὸν ὡσαύτως. Φ. Διττόν ἐστι τὸ ἀγαπᾶν· τὸ μὲν οὐσιῶδες· τὸ δὲ προσωπικόν· ἔστι δὲ τὸ δεύτερον, τελειωτικόν· ὥσπερ γὰρ ὁ ὀφθαλμὸς ἀόριστον ἔχων τὸ ὑποκείμενον, τῇ αὐτῇ θέᾳ ὁρᾷ πολλὰ ἐξ ἴσου, ὅμως πρὸς ἕν ἐστι τελειωτικός, πρὸς δὲ τὰ ἄλλα οὐχ ὡσαύτως, ἀλλὰ τῇ αὐτῇ θέᾳ ὁρᾷ πολλά· οὕτως ἀγαπᾷ ὁ πατὴρ τὸν υἱὸν, καὶ ὁ υἱὸς τὸν πατέρα· ἐξέρχεται δὲ παρ' ἀμφοτέρων μία ἀγάπη· ἀγαπῶνται δὲ καὶ νοοῦνται πρὸς ἄλληλα τὰ θεῖα πρόσωπα ἀγάπῃ κοινωνητικῇ. Γ. Οὐκοῦν καθὼς τὸ ὄμμα πολλοῖς ἐνατενίζειν δυνάμενον, πρὸς ἓν ἀφορῶν ἀποτελεῖ τὴν θεωρίαν· οὕτως καὶ νοῦς ὁρῶν ἓν, ἤγουν νοῶν, ἀποτελεῖ τὴν νόησιν· καθὼς ἄρα καὶ νοεῖ

ὁ

ὁ υἱὸς τὸν πατέρα, καὶ ἑαυτὸν, καὶ τὸ πνεῦμα· καὶ τὸ πνεῦμα τὸν υἱόν· ὅμως ἐν τῷ πατρὶ ἀποτελεῖται ἡ νόησις· καὶ ἔστιν ἡ νόησις ἐκ μόνου τοῦ πατρὸς νοοῦντος ἑαυτόν· οὕτω καὶ ἡ ἀγάπη ἐκ μόνου ἐστὶ τοῦ πατρὸς ἀγαπῶντος καὶ θέλοντος ἑαυτὸν τῇ ἀκοινωνήτῳ θελήσει· ἀγαπᾷ δ' ὁ υἱὸς τὸν πατέρα καὶ νοεῖ· καὶ τὸ πνεῦμα ὁμοίως ἀγαπᾷ καὶ νοεῖ τὸν υἱὸν τῇ οὐσιώδει ἀγάπῃ καὶ ἑνώσει· ἡ δὲ ἀκοινώνητος ἀγάπη, ἐστὶ ἐκ μόνου τοῦ πατρὸς, ἀγαπῶντος προσωπικῶς ἑαυτόν, καὶ μὴ κοινωνοῦντος προσώπῳ τινὶ τὰς ἰδιότητας τὰς προσωπικάς. Ἰδοὺ ὅτι οὐδὲν καὶ ἐκ τοῦ τοιούτου παραδείγματος συνεισάγεται· Ὅτι δὲ τὸ πνεῦμα ἐκ τοῦ πατρὸς ἐκπορεύεται μόνου, Γρηγόριος ὁ Νύσσης ἐν τῷ κατ' Εὐνομίου· Τούτου γὰρ ἕνεκα καὶ πνεῦμα στόματος ὁ Δαβὶδ εἴρηκε (λέγει) ἵνα τὴν ἐκπορευτικὴν ἰδιότητα τῷ πατρὶ μόνῳ προσοῦσαν πιστώσηται· καὶ Κύριλλος ἐν τῷ περὶ θεολογίας· Αἱ δὲ τρεῖς ὑποστάσεις (φησὶ,) γινώσκονται καὶ πιστεύονται ἐν πατρὶ ἀνάρχῳ, καὶ υἱῷ μονογενεῖ, καὶ ἐν πνεύματι ἁγίῳ, τῷ ἐκπορευομένῳ ἐκ μόνου τοῦ πατρός· ὁ δὲ θεῖος Ἀθανάσιος ἐν τῷ πέμπτῳ βιβλίῳ· οὗ ἡ ἀρχὴ, τί ἐστὶ Θεός; ἐν τῇ τετάρτῃ ἐρωτήσει, οὕτως ἀποκρίνεται· Καὶ ὥσπερ ὁ δίσκος τοῦ ἡλίου μόνος ἐστὶν αἴτιος καὶ ἀγέννητος, ἡ δὲ ἀκτὶς αἰτιατὴ καὶ γεννητὴ ἐκ τοῦ δίσκου, τὸ δὲ φῶς ἐκπορευτὸν ἐκ μόνου τοῦ δίσκου, διὰ τοῦ τῆς ἀκτῖνος πεμπόμενον καὶ καταλάμπον τὰ περίγεια, οὕτω καὶ ὁ Θεὸς καὶ πατὴρ αὐτὸς μόνος ἐστὶν αἴτιος τοῖς δυσὶ καὶ ἀγέννητος· ὁ δὲ υἱὸς, ἐκ μόνου τοῦ πατρὸς αἰτιατὸς καὶ γεννητός· καὶ αὐτὸ τὸ πνεῦμα, ἐκ μόνου τοῦ πατρὸς αἰτιατὸν καὶ ἐκπορευτόν· διὰ δὲ τοῦ υἱοῦ ἐν τῷ κόσμῳ ἀποστελλόμενον· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γρηγόρ. Νύσσ. — Κύριλλ. — Ἀθανάσ.

Τέλος καὶ τῷ Θεῷ δόξα.

B

ΓΑΒΡΙΗΛ ΤΟΥ ΣΕΒΗΡΟΥ
ΤΟΥ ΕΚ ΜΟΝΟΜΒΑΣΙΑΣ, ΤΑΠΕΙΝΟΥ

μητροπολίτου Φιλαδελφίας, Ἔκθεσις κατὰ τῶν ἀμαθῶς λεγόντων καὶ παρανόμως διδασκόντων, ὅτι ἡμεῖς οἱ τῆς Ἀνατολικῆς Ἐκκλησίας γνήσιοι καὶ ὀρθόδοξοι παῖδες ἐσμὲν σχισματικοὶ παρὰ τῆς ἁγίας καὶ καθόλου Ἐκκλησίας.

ΠΡΟΟΙΜΙΟΝ.

θεάρεστον· καθὼς ὁ ἱερὸς Διονύσιος λέγει· Δέχεται γὰρ εὖ μάλα, καὶ τοῖς ἀσυμφθάρτως κατὰ τὸ εἰπεῖν ἀντιτίμως ἐκδημήσασι, τὰς ὑπὸ τῶν οἰκείων τούτοις προσφερομένας τῶν ὑστερημάτων ἀναπληρώσεις, καὶ εἰς ἔργον τούτοις καὶ πράξεις λογίζεται· θέλει γὰρ οὕτως ὁ φιλάνθρωπος κύριος, αἰτεῖσθαι, καὶ νέμειν τὰ τῶν ἰδίων κτημάτων πρὸς σωτηρίαν αἰτήματα· καὶ τότε αὐτοῖς ὁλικῶς ἐπικάμπτεσθαι, οὐχ ὅταν τις ὑπὲρ ἰδίας ψυχῆς ἀγωνίζεται· ἀλλ' ὅταν καὶ ὑπὲρ τοῦ πέλας τοῦτο ἐργάζεται· Ὅτι δὲ ἠλευθερώθησαν ψυχαὶ ὑπὸ τοῦ ᾅδου, δείκνυται· καὶ α. ἡ ψυχὴ τοῦ Τραϊανοῦ τοῦ βασιλέως, διὰ προσευχῆς τοῦ ἁγίου Γρηγορίου τοῦ διαλόγου ἐλευθερώθη· καὶ ἄκουσον τί λέγει· Τῆς φωνῆς σου καὶ εὐχῆς σου ἤκουσα, καὶ συγγνώμην Τραϊανῷ δίδωμι· σὺ δὲ μηκέτι προσαχθεὶς ὑπὲρ ἀσεβῶν εὐχὰς προσενέγκαι μοι· δεύτερον πάλιν, ἡ ψυχὴ τῆς Φαλκονίλας, διὰ προσευχῆς τῆς πρωτομάρτυρος Θέκλας, ἠλευθερώθη τῆς κολάσεως· ταῦτα δὲ πάντα εἰσὶ γεγραμμένα ἐν τῷ περὶ τῶν κεκοιμημένων λόγῳ τοῦ ἱεροῦ Δαμασκηνοῦ· διὰ τοῦτο (καθὼς πολλάκις εἴπομεν) ἡ ἁγία τοῦ Χριστοῦ Ἐκκλησία ἡ Ἀνατολική, ἀενάως πρεσβεύει ὑπὲρ τῶν κεκοιμημένων πατέρων καὶ ἀδελφῶν· τὸ ὁποῖον δὲν ἤθελε κάμει, ἂν δὲν ἦτο βεβαιωμένη παρὰ τῶν θεοσόφων διδασκάλων καὶ ἁγίων πατέρων.

Διονύσ. — Δαμασ. περὶ κεκοιμ.

Ἐφανερώθη λοιπὸν ἐκ τῶν εἰρημένων· Πρῶτον ὅτι αἱ ψυχαὶ τῶν ὀρθοδόξων χριστιανῶν, λαμβάνουσιν ὠφέλειαν καὶ ἐλευθερίαν διὰ τῶν λειτουργειῶν· καὶ προσευχῶν καὶ ἐλεημοσυνῶν: β. ὅτι οὐδεὶς τῶν ἀνθρώπων ἔχει ἐξουσίαν νὰ ἐλευθερώσῃ ἐξουσιαστικῶς, ἢ νὰ ἐλευθέρωσε ποτέ, ψυχὰς ἀνθρώπων ἁμαρτωλῶν, ἀπὸ τὰς τιμωρίας τοῦ ᾅδου· εἰ μὴ μόνον ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων, καὶ μέγας ἀρχιερεύς, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, μὲ τοῦ ὁποίου τὸ αἷμα ἐξηγοράσθημεν πάντες ἐκ τῆς κατάρας τοῦ νόμου: γ. ὅτι εἷς καὶ μόνος τόπος ἐστὶν ὁ ᾅδης· εἰς τὸν ὁποῖον εὑρίσκονται αἱ τῶν ἁμαρτωλῶν ψυχαί· ὁ ὁποῖος ᾅδης ἔχει πολλὰς μονάς, καὶ διαφόρους τιμωρίας, κατὰ τὴν ἀναλογίαν τῶν ἁμαρτημάτων: δ. ὅτι ἐπειδὴ καὶ δὲν ἔγινε μέχρι τοῦ νῦν ἡ τελεία ἀπόφασις καὶ καθόλου κατὰ τῶν ἁμαρτωλῶν, ὁ ᾅδης εὑρίσκεται ἀνοικτός, καὶ ἡ ἄπειρος εὐσπλαγχνία τοῦ Θεοῦ ἑτοίμη πρὸς τὸ ἐλεῆσαι, διὰ τοῦτο αἱ ψυχαὶ οὐ μόνον λαμβάνουσιν ἄφεσιν καὶ παράκλησιν διὰ τὰς ὑπὲρ αὐτῶν πρὸς Θεὸν γινομένας εὐχάς, ἀλλὰ καὶ παντελῶς ἐλευθερίαν καὶ λύτρωσιν τῆς κολάσεως· καὶ ταῦτα μὲν ἱκανῶς μοι δοκεῖ εἰρῆσθαι, περὶ τοῦ παρὰ Λατίνοις λεγομένου καθαρτηρίου πυρός.

Τέλος τῆς τετάρτης διαφορᾶς.

ΤΟΥ ΑΥΤΟΥ ΓΑΒΡΙΗΛ ΤΟΥ ΦΙΛΑΔΕΛΦΙΑΣ ΠΕΡΙ ΤΗΣ Ε. διαφορᾶς, τὴν ὁποίαν ἔχει ἡ Ἀνατολικὴ Ἐκκλησία μὲ τὴν Ρωμαϊκήν· ἤγουν περὶ τῆς μακαριότητος τῶν ἁγίων.

Πέμπτην καὶ τελευταίαν διαφορὰν ἔχει ἡ Ἀνατολικὴ Ἐκκλησία, τῇ Ῥωμαϊκῇ, περὶ τῆς τῶν ἁγίων μακαριότητος, τουτέστιν, ἀνίσως καὶ αἱ ψυχαὶ τῶν ἁγίων ἀπέλαβον τὴν τελείαν μακαριότητα, καθὼς οἱ Ῥωμάνοι λέγουσιν, ἢ οὐκ ἔπι τελείως, ἀλλὰ μερικῶς, καθὼς ἡμεῖς πιστεύομεν· καὶ περὶ μὲν ταύτης τῆς διαφορᾶς, οὐδὲν ἡμεῖς λέξομεν ἀφ' ἑαυτῶν, ἀλλὰ πάντα τὰ τῶν ἱερῶν διδασκάλων τοῖς πᾶσι προθήσομεν· ἐξ ὧν δυνησόμεθα γνῶναι καὶ τὴν διαφορὰν ταύτην. Πρῶτος τοίνυν ὁ θεῖος καὶ ἱερὸς Αὐγουστῖνος ἑρμηνεύων τὴν θείαν γραφὴν εἰς τὴν

Αὐγουστ. « γένεσιν, τοιαῦτα λέγει· Αἱ τῶν ἁγίων ψυχαὶ οὐχ οὕτω τελείως ἀπολαύουσι τῆς θείας θεωρίας πρὸ τῆς ἀναστάσεως, ὥσπερ μετὰ ταῦτα· εἶτα λέγει τὴν αἰτίαν· Ἡ ἕνωσις τῆς ψυχῆς καὶ τοῦ σώματος, ἐστὶ φυσικὴ καὶ οὐσιώδης· οὐκ ἐνδέχεται τὴν τῆς ψυχῆς φύσιν τελείαν ἔχειν τὴν μακαριότητα, χωρὶς τοῦ σώματος αὐτῆς, ᾧ ἑνοῦται οὐσιωδῶς καὶ φυσικῶς· ἀλλ' οὐ διὰ τοῦτο τῆς σχέσεως τῆς φυσικῆς αὐτοῦ ἐπιλανθάνεται· ὁ δὲ μέγας Ἀθανάσι-

Ἀθανάσ. « ος εἰς τὴν ·η. ἐρωταπόκρισιν, τὴν πρὸς Ἀντίοχον λέγει· Ὅτι αἱ τῶν ἁγίων ψυχαὶ ἔχουσιν εὐφροσύνην· καὶ ἐστιν αὕτη μερικὴ ἀπόλαυσις· ὥσπερ καὶ ἡ λύπη, ἣν οἱ ἁμαρτωλοὶ ἔχουσι, μερικὴ κόλασις· καὶ ὁ μέγας Βασίλειος εἰς τὰ αὐτοῦ ἠθικά, περὶ ἀρχῆς καὶ

Βασίλ. « ἐξουσίας, οὕτω λέγει· Τὸ μὲν γὰρ πρόσωπον πρὸς πρόσωπον, καὶ ἡ τελεία ἐπίγνωσις της τοῦ Θεοῦ ἀκαταλήπτου μεγαλειότητος, ἐν τῷ μέλλοντι αἰῶνι τοῖς ἀξίοις ἀποδοθῆναι ἐπήγγελται· νῦν δὲ κἂν Παῦλός τις ᾖ, κἂν Πέτρος, βλέπει μὲν ἀληθῶς, καὶ οὐ πλανᾶται, οὐδὲ φαντάζεται· δι' ἐσόπτρου δέ, ὅμως βλέπει καὶ ἐν αἰνίγματι, καὶ τὸ ἐκ μέρους νῦν εὐχαρίστως ἐνδέχεται· τὸ γὰρ δοκοῦν νῦν ἐν τῇ γνώσει τέλειον, βραχύ τι καὶ ἀμυδρότερον τοσοῦτον ἐστίν, ὡς πλέον ἀπολιμπάνεσθαι τῆς ἐν τῷ μέλλοντι αἰῶνι τρανότητος, ἢ ὅσον ἀπολιμπάνεται τοῦ προσώπου πρὸς πρόσωπον· καὶ πάλιν ὁ αὐτὸς ἐν κεφαλ. ις.

Ὁ αὐτός. τῶν πρὸς Ἀμφιλόχιον λέγει· Τίς γὰρ οὕτως ἀνήκοος τῶν ἡτοιμασμένων παρὰ Θεοῦ ἀγαθῶν τοῖς ἀξίοις, ὡς ἀγνοεῖν, ὅτι καὶ τῶν δικαίων ὁ στέφανος, ἡ τοῦ πνεύματός ἐστι χάρις, δαψιλεστέρα τότε καὶ τελειοτέρα παρεχομένη, κατὰ τὴν ἀναλογίαν τῶν ἀνδραγαθημάτων τῆς πνευματικῆς δόξης διανεμομένης ἑκάστῳ; ἐν γὰρ ταῖς λαμπρότησι τῶν ἁγίων, μοναὶ πολλαὶ παρὰ τῷ πατρί, τουτέστιν ἀξιωμάτων διαφοραί· τούτοις ὅμοια λέγει καὶ ὁ θεῖος Χρυσόστομος, ἐξηγούμενος τὸ ·ια. κεφάλαιον τῆς πρὸς Ἑβραίους ἐπι-

Χρυσόσ. « στολῆς, εἰς τὸν λόγον τὸν. κζ. λέγει· Τίς οὖν ὁ μισθὸς τῆς τοσαύτης ἀμοιβῆς; τίς ἡ

αὐτοπό-

ἀνταποδόσεις; οὐδέπω ἀπέλαβον ἐκεῖνοι· χρόνους ἔχουσι τοσούτους νικήσαντες, καὶ οὐδέπω ἀπέλαβον· ὑμεῖς δὲ ἐν τῷ ἀγῶνι ὄντες ἀγάλλετε; ἐννοήσατε καὶ ὑμεῖς τί ἐστι, καὶ ὅσον ἐστὶ, τὸν Ἀβραὰμ καθῆσθαι, καὶ τὸν ἀπόστολον Παῦλον, περιμένοντας πότε σὺ τελειωθῇς, ἵνα δυνηθῶσι τότε λαβεῖν τὸν μισθόν· εἶτα κατωτέρω λέγει· Ἕνα ὥρισε πᾶσι τῶν στεφάνων τὸν καιρόν· καὶ ὁ πρὸ τοσούτων ἐτῶν νενικηκὼς, μετὰ σοῦ λαμβάνει τὸν στέφανον· τὸ γὰρ ὁμοῦ δοξασθῆναι, μεγάλη ἡδονή· ὁ αὐτὸς δὲ πάλιν ἑρμηνεύων τὸ ιϛ. κεφάλ. τῆς προτέρας πρὸς Κορινθίους ἐπιστολῆς, εἰς φύλλα· 239. λέγει· Κἂν μένῃ ἡ ψυχὴ, κἂν μυριάκις ἀθάνατος ᾖ, ὥσπερ οὖν καὶ ἔστι, τῆς σαρκὸς χωρὶς οὐ καταλείψεται τὰ ἀπόρρητα ἀγαθὰ ἐκεῖνα· ὥσπερ οὖν οὐδὲ κολασθήσεται· πάντα γὰρ φανερωθήσεται ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα ἕκαστος κομίσηται τὰ διὰ τοῦ σώματος ἃ ἔπραξεν, εἴτ' ἀγαθὰ, εἴτε κακά· τοιαῦτα λέγει καὶ ὁ μέγας Ἀθανάσιος περὶ τῶν ἐν κυρίῳ νεκρῶν· Ὅθεν διὰ τοῦτο ὁ Θεὸς τοῖς σωζομένοις κεχάρισται, τὸ μέχρι τῆς κοινῆς ἀναστάσεως ψυχικῶς ἀλλήλοις συνεῖναι καὶ συνευφραίνεσθαι, ἀπεκδοχὴν ἔχοντας τῶν μελλόντων αὐτοῖς ἀποκληρωθῆναι θείων δωρεῶν· ὅμοια τούτοις προσμαρτυρεῖ καὶ ὁ ἱερὸς καὶ θεῖος Ἰωάννης ὁ Δαμασκηνὸς, λέγων· Οἱ δὲ ἁμαρτωλοὶ καὶ ταύτης τῆς δόξης ἐστέρηνται· οὐ γὰρ ἔχουσι τὸ διαγνωστικὸν ἐν ἀλλήλοις· ἐν ἐκείνῳ δὲ τῷ πανδήμῳ θεάτρῳ, καθὼς αἱ πράξεις ἀνακεκαλυμμέναι πάντων, οὕτω καὶ τὰ πρόσωπα γνώριμα παρὰ πάντων, ἕως οὗ ὁ πάντων ἄκρατος γένηται χωρισμὸς, καὶ ἀποπεμφθήσεται πᾶς τις εἰς ὃν ἡτοίμακε τόπον· οἱ μὲν δίκαιοι μετὰ Θεοῦ, καὶ ἀλλήλων· οἱ δὲ ἁμαρτωλοὶ, ἐν τοῖς ἐκτόποις· Καὶ ταῦτα μὲν λέγουσιν οἱ εἰρημένοι διδάσκαλοι, ὅτι δηλονότι, οὐκ ἔτι ἀπέλαβον τελείως τὴν μακαριότητα, ἀλλὰ μερικῶς· τὴν δὲ τελείαν θέλουσι τὴν ἀπολαύσει ἐν τῇ ἀναστάσει· καθὼς ὁ μακάριος Παῦλος βεβαιοῖ λέγων, Ὅτι ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος· ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὁ δίκαιος κριτής· οὐ μόνον δὲ ἐμοὶ, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ· Εἰσὶ δὲ καί τινες ἄλλοι διδάσκαλοι, οἵτινες λέγουσιν, ὅτι ἀπήλαυσαν αἱ ψυχαὶ τῶν ἁγίων τῆς μακαριότητος· ἀλλὰ καὶ οὗτοι πάντες, τὴν μερικὴν ἐννοοῦσι, καὶ οὐ τὴν τελείαν καὶ καθόλου μακαριότητα, καθὼς καὶ οἱ προειρημένοι· ἐπειδὴ καὶ οἱ θεῖοι διδάσκαλοι κατ' οὐδὲν διαφωνοῦσιν, ἀλλὰ κατὰ πάντα πάντες ὁμοφωνοῦσι· Πρῶτος τοίνυν ὁ ἅγιος Ἰουστῖνος ὁ φιλόσοφος καὶ μάρτυς, εἰς τὴν. ιϛ. ἐρωταπόκρισιν λέγει· Ὄφελος γέγονε τῷ λῃστῇ εἰς τὸν παράδεισον εἰσελθόντι, τὸ ἔργοις μαθεῖν πίστεως τὸ ὠφέλιμον· δι' ἧς ἠξιώθη τοῦ συναθροίσματος τῶν ἁγίων, ἐν ᾧ φυλάττεται ἕως τῆς ἡμέρας τῆς ἀναστάσεώς τε καὶ ἀνταποδόσεως· ἔχει τε τοῦ παραδείσου τὴν αἴσθησιν, κατὰ τὴν ἐννοηματικὴν λεγομένην αἴσθησιν, καθ' ἣν ὁρῶσιν, αἱ ψυχαὶ ἑαυτάς τε καὶ τὰ ὑπ' αὐτάς· ὁ δὲ μέγας Ἀθανάσιος ἐν τοῖς πρὸς Ἀντίοχον κεφαλαίοις, τάδε φησίν· Ὡς ἐκ τῶν γραφῶν μανθάνομεν, αἱ τῶν δικαίων ψυχαὶ, κατ' αὐτὸν διάγουσι τὸν παράδεισον· ἀλλὰ καὶ διὰ πάσας τὰς τῶν ἁγίων ψυχάς· μετὰ δὲ τὸν Ἀθανάσιον ὁ θεῖος Γρηγόριος ὁ διάλογος πρὸς τὸν διάκονον Πέτρον λέγει· Ἐν οὐρανῷ τὰς τῶν ἁγίων ψυχὰς εἶναι πιστεύομεν· καὶ ὁ θεολόγος Γρηγόριος εἰς τὸν ἐπιτάφιον τοῦ μεγάλου Βασιλείου λέγει· Καὶ νῦν ὑμᾶς ἐπιτηδείοις ἐξ οὐρανοῦ, κἀντεῦθεν ἐκδημήσω, δέξαι με εἰς τὰς αἰωνίους σκηνάς· καὶ ὁ θεῖος Χρυσόστομος ἑρμηνεύων τὸ α. κεφάλ. τῆς πρὸς Φιλιππησίους ἐπιστολῆς, εἰς τὸν γ. λόγον τῶν ἠθικῶν λέγει· Οἱ ἁμαρτωλοὶ ὅπου ἂν ὦσι, πόρρω τοῦ βασιλέως εἰσί· διὰ τοῦτο δακρύων ἄξιοι· οἱ δὲ δίκαιοι, εἴτε ἐνταῦθα, εἴτε ἐκεῖ, μετὰ τοῦ βασιλέως

εἰσὶν

Σημείωσ.

Ὁ αὐτός

Ἀθανασ.

Δαμασ.

Τιμόθ. β. κεφ. δ.

Ἰουστῖνος.

Ἀθανασ.

Γρηγόρ. ὁ διάλογ.

Γρηγό. ὁ θεολογ.

Χρυσόσ.

εἶναι· καὶ νῦν μᾶλλον ἐγγύτερον· οὐ διὰ εἰσόδου, οὐ διὰ πίστεως, ἀλλὰ πρόσωπον πρὸς πρόσωπον. Ὁμοίως δὲ καὶ ὁ ἱερὸς Ἀναστάσιος ὁ Σιναΐτης, ἐξηγούμενος τὴν ἑξαήμερον, εἰς τὸν τέταρτον λόγον λέγει·
Ἀναστάσ. σιναΐτ. Ἐπωτέρω δὲ τοῦ φαινομένου στερεώματος, τὰς οὐρανίους λέγομεν εἶναι δυνάμεις, καὶ αὐτὰς τὰς τῶν δικαίων ψυχάς, καὶ αὐτὸν διάγουσαι τὸν παράδεισον. πρὸς τούτοις δὲ καὶ ὁ μακάριος Θεοδώρητος λέγει·
Θεοδώρ. Αἱ μὲν γενναῖαι τῶν νικηφόρων ψυχαὶ περιπολοῦσι τὸν οὐρανόν, τοῖς ἀσωμάτοις χοροῖς συγχορεύουσαι. Αὗται εἰσὶν αἱ τῶν θεολόγων μαρτυρίαι, ἐξ ὧν πᾶς τις δύναται ῥᾳδίως γνῶναι καὶ τὰ περὶ τῆς ὑποθέσεως ταύτης. ἐγὼ δ' ὅμως τοιαύτην γνώμην ἔχω περὶ ταύτης τῆς ὑποθέσεως, ὅτι αἱ τῶν ἁγίων καὶ μακαρίων ψυχαί, βλέπουσι μὲν καθὸ ψυχαὶ τὴν μακαριότητα καὶ δόξαν τοῦ Θεοῦ, κατὰ τὸν εἰπόντα,
Σοφία σολομ. γ. Ψυχαὶ δικαίων ἐν χειρὶ Θεοῦ, καὶ καθὼς ὁ μέγας Βασίλειος ἐν τοῖς προειρημένοις ἔλεγε. καθὸ δὲ μέλλουσι πάλιν νὰ λάβωσι ψυχὴ καὶ σῶμα τὴν τελείαν ἀπόλαυσιν τῆς θείας μακαριότητος, κατὰ τὸ λόγιον,
Ἰωάν. ιδ. Πορεύομαι ἑτοιμάσαι ὑμῖν τόπον· καὶ καθὼς ὁ ἅγιος Αὐγουστῖνος ἀνωτέρω ἔλεγεν, λέγω ὅτι οὔπω τελείως ἀπέλαυσαν οἱ ἅγιοι, ἐπειδὴ καὶ τότε ἔσται ἡ τελεία ἀπόλαυσις, ὅταν ὁ Χριστὸς κρινῇ πᾶσαν τὴν γῆν, καὶ ἀποδώσῃ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. πρὸς τούτοις δὲ λέγομεν, ὅτι ὥσπερ ὁ Χριστὸς ψυχὴν καὶ σῶμα λαβὼν ἀνῆλθεν εἰς οὐρανούς, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ καὶ πατρός, τὸν αὐτὸν τρόπον καὶ οἱ ἅγιοι, ὅταν ἀναστηθῶσι, μετὰ τῶν ψυχῶν καὶ τῶν σωμάτων λήψονται τοὺς στεφάνους, καθὼς ὁ Παῦλος βοᾷ·
Τιμόθ. β. κεφάλ. δ. Ὅτι ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής. οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. τούτοις τοίνυν τοῖς λόγοις καὶ ἡ τοῦ Θεοῦ Ἐκκλησία πιστεύουσα, λέγει, ὅτι ἡ τελεία ἐπίγνωσις τῆς τοῦ ἀκαταλήπτου Θεοῦ μεγαλειότητος, ἐν τῷ μέλλοντι αἰῶνι τοῖς ἀξίοις ἀποδοθῆναι ἐπήγγελται. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Τέλος τῆς πέμπτης καὶ τελευταίας διαφορᾶς.

ΝΕΙΛΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

ΒΙΒΛΙΑ ΔΥΟ.

Τὸ πρῶτον περὶ τῶν αἰτίων τῆς ἐκκλησιαστικῆς διαστάσεως.
Τὸ δεύτερον περὶ τῆς ἀρχῆς τοῦ πάπα.

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ,

ἤτοι

ΛΟΓΟΣ ἈΠΟΔΕΙΚΝΥΣ ΜΗ ἌΛΛΟ ΤΙ ΤῸ ΤΗΣ ΔΙΑ-διαστάσεως τῆς Λατίνων ἐκκλησίας καὶ ἡμῶν μέχρι τοῦ παρόντος, αἴτιον εἶναι, ἢ τὸ μὴ βούλεσθαι τὸν πάπαν οἰκουμενικῇ συνόδῳ τὴν τοῦ ἀμφισβητουμένου διάγνωσιν ἐπιτρέψαι· ἀλλ' αὐτὸν μόνον διδάσκαλον ἐθέλειν τοῦ ζητουμένου καθέζεσθαι, τοὺς δὲ ἄλλους ἐν μαθητῶν μοίρᾳ ὑπακούοντας ἔχειν. καὶ ὅτι τὸ τοιοῦτον ἀλλότριον τῶν ἀποστολικῶν καὶ πατρικῶν καὶ νόμων, καὶ πράξεων.

ἩΓΟΥΜΕΘΑ δεῖν πρὸς Λατίνους ποιουμένους τὸν λόγον ἀρχήν τινα ἐπινοῆσαι τῷ νυνὶ λόγῳ, τὸ εὔλογον μεθ' ἑαυτῆς ἔχουσαν. ἡ δέ ἐστι, τὴν αἰτίαν ἰδεῖν, δι' ἣν ὁ τῶν ἐκκλησιῶν πόλεμος ἤρξατο μὲν καὶ ἤκμασεν εἰς τοσοῦτον, λῆξαι δὲ οὐδ' ἂν ἐλπίζειν ἐστὶν, ἂν μὴ Θεὸς χεῖρα ὑπέρσχῃ. ὁρῶμεν δὲ καὶ τοὺς ἰατροὺς καὶ τοὺς ἄλλους οἳ πρὸς τέλος ἀφορῶντες ἐργάζονται, μὴ πρότερον τῆς θεραπείας εἶδος ὁρίζοντας, πρὶν ἂν ὁ τῶν αἰτίων λόγος σαφὴς γένηται. τῆς μὲν γὰρ αἰτίας περιαιρεθείσης, ῥᾷον καὶ περὶ τῆς εἰρήνης ἐστὶν ἐλπίζειν. μενούσης δὲ αὐτῆς, μάταιος ἡ σπουδή. Ἔστι τοίνυν, ὥς γε ἐγὼ νομίζω, οὐ τὸ τοῦ δόγματος ὑψηλὸν, κατόπιν ἐῶν τὸν ἀνθρώπινον νοῦν. καὶ γὰρ πάντα τ' ἄλλα τοιαῦτα, ὅσα τῇ ἐκκλησίᾳ πράγματα παρέσχε κατὰ καιρούς. οὔτε τοίνυν τοῦτο τῆς διαστάσεως αἴτιον, οὔτε πολλοῦ μᾶλλον ὁ τῆς γραφῆς λόγος, συντετμημένος ὢν, καὶ μὴ σαφῶς διαγορεύων περὶ τοῦ ζητουμένου. τὸ γὰρ τὴν γραφὴν αἰτιᾶσθαι, ἴσον ἐστὶ καὶ Θεὸν αἰτιᾶσθαι. ἀλλὰ Θεὸς ἀναίτιος. αἰτίᾳ δὲ ἐλομένους, πῶς τις ἂν φαίη νοῦν ἔχων. καὶ ἄνθρωποι δὲ, ἀφ' ἑκατέρου γένους ὁρμώμενοι, Ἰταλῶν τε καὶ Ἑλλήνων, σοφοί τε καὶ ἀγαθοὶ, οὐκ ἐῶσιν ἡμᾶς ἐρημίαν ἀνθρώπων αἰτιᾶσθαι, καὶ ταύτῃ τὰ τῆς διαστάσεως νέμειν. ἀλλ' οὐδὲ ὅπερ Λατῖνοί φασιν, ὡς ἄρα ἡμεῖς πρεσβείων ἀντιποιούμενοι, εἴτε δεύτεροι τῆς Ῥωμαίων ἀρχῆς ἀνεχόμεθα δείκνυσθαι, ἅμα δὲ διὰ τοῦτο καὶ τῆς εἰ-

ρίνης ἀποπηδῶμεν. οὔτε γὰρ περὶ τῶν πρωτείων ἠμφισβητήσαμεν πώποτε τῇ Ῥωμαίων ἐκκλησίᾳ, οὔτε περὶ δευτερείων ὁ λόγος νυνί. ἀλλ' οὐδὲ τοσοῦτον ἠγνοήκαμεν, οὔτε τὸ παλαιὸν ἔθος, οὔτε τοὺς τῶν πατέρων θεσμοὺς, ἐν οἷς ἡ τῆς Ῥώμης ἐκκλησία πρεσβυτάτη πασῶν ἐκκλησιῶν ἀνηγόρευται. ἄλλως τε οὐδὲ δίκαιον, ὅπερ ἀρνούμεθα προσφέρειν ἡμῖν, καὶ ταύτῃ συγκαλύπτειν πειρᾶσθαι τὸν ἀληθῆ τοῦ πράγματος ἔλεγχον. Τί τοίνυν ἐστὶ τὸ τῆς διαστάσεως αἴτιον; τὸ μὴ κοινῇ τῆς οἰκουμενικῆς συνόδῳ κυρωθῆναι τὸ ζητούμενον· τὸ μὴ προβῆναι τὴν λύσιν κατὰ τὰ παλαιὰ τῶν πατέρων ἐν τοιούτοις ἔθη· ἀλλὰ τοὺς μὲν Ῥωμαίους, διδασκάλους τοῦ ζητουμένου ἐθέλειν καθέζεσθαι, τοὺς δὲ ἄλλους, ἐν μαθητῶν μοίρᾳ ὑπακούοντας ἔχειν. ἀλλ' οὐχ' οὕτως ἔχουσιν οἱ τῶν πατέρων θεσμοί. μαρτύριον ἱκανὸν τοῦ λόγου, αἱ τῶν πατέρων πράξεις ἀνάγραπτοι διαμένουσαι, καὶ περὶ τῶν κοινῇ τῆς πίστεως λόγων, κοινὴν ποιούμεναι καὶ τὴν ζήτησιν. πάνυ δὲ ἄτοπον, τοὺς μὲν πατέρας μὴ ἔχοντας παραδείγματα, ἀφ' ἑαυτῶν συνιδεῖν τὸ βέλτιον· ἡμᾶς δὲ ἐκείνους ἔχοντας, μηδ' οὕτω συνιέναι. καὶ τῆς μὲν στάσεως ἀρξαμένης, ἴσως συγγνώμη τοῖς ἀγνοοῦσιν, ὡς ἄρα οὐκ ἀναγκαῖα ἐν τοῖς τοιούτοις τὰ τῶν πατέρων ἔθη, ὡς δυνατὸν καὶ ἄλλως διαλυθῆναι τὴν ἀμφισβήτησιν· τὸ δὲ τοσούτων ἐνιαυτῶν ἐρρυηκότων, μὴ μίαν καὶ μόνην ὁδὸν εἰς εἰρήνην ἄγουσαν οἴεσθαι, καὶ διὰ ταύτης ἐθέλειν ἰέναι, δι' ἧς ἦλθον καὶ οἱ πατέρες ἡμῶν, πῶς οὐ σφόδρα ἀποσειομένων εἰρήνην; Ἀλλ' ὁ πάπας, φησὶν, ἀρχιερεύς ἐστιν ἄκρος, καὶ ποιμὴν, καὶ πατὴρ, καὶ ἔξεστιν ἐκείνῳ καὶ σύνοδον οἰκουμενικὴν ἀθροίζειν, καὶ καθ' ἑαυτὸν ἰδίᾳ, τῶν ἄλλων χωρὶς, τὰ ἐκκλησιαστικὰ κυροῦν. ἀλλὰ καὶ ὁ Ἰούλιος πάπας ἦν, καὶ Δάμασος, καὶ Κελεστῖνος, καὶ Λέων, καὶ Ἀγάθων, καὶ πολλὴν ἐκείνοις οἱ πατέρες ἐμαρτύρησαν τὴν ἁγιότητα. ἀλλὰ ταῦτα οὐκ εἶπον· ἀλλὰ τοῖς ἀδελφοῖς συνιόντες μετὰ τοῦ ἀγαθοῦ πνεύματος τά τε δόγματα ἐκύρουν, καὶ εἰρήνην ταῖς ἐκκλησίαις ἐβράβευον. εἰ δὲ οὕτω μόνως ἐκυροῦντο τὰ δόγματα, τὸ δὲ οὐ νυνὶ γίνεται, οὐ παρὰ τοῦτο μόνον τὸ τῆς διαστάσεως αἴτιον; παρὰ τίνας δὲ τὸ αἴτιον; οὐ παρ' ὑμᾶς; τὸ δὲ ἐξεῖναι λέγειν τοῦ πάπα σύνοδον οἰκουμενικὴν ἀθροίζειν, καὶ ταύτῃ κυροῦν τὰ ἐκκλησιαστικὰ, οὐδὲν ἄλλο λέγειν ἐστὶν, ἢ ὁ πάπας μετὰ τῶν ἄλλων συνιὼν, περὶ τῶν ἐκκλησιαστικῶν βουλεύσεται. εἰ δὲ τοῦ πάπα δικαστήριον ἱκανὸν ἦν ἐν τοῖς τοιούτοις, περιττὸν λοιπὸν καὶ πάρελκον οἱ τοσοῦτοι τῶν μακαρίων πατέρων σύλλογοι. ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν, ἕως ἂν τὸ πνεῦμα τὸ ἅγιον διὰ τῶν μακαρίων ἐκείνων φθέγγηται. ὁρῶμεν δὲ καὶ τὸν πάπαν Ἀγάθωνα, καὶ Κελεστῖνον τὸν θεῖον, καὶ Λέοντα, καὶ τοὺς ἄλλους, καὶ ἰδίαν μὲν ἀθροίζοντας σύνοδον περὶ τῶν ζητουμένων ἑκάστοτε· ἀλλὰ τὰ μερικῶς ἐκεῖ διειλημμένα πρὸς τὴν καθολικὴν ἀπέστελλον σύνοδον, καὶ κυρωθῆναι κοινῇ τὰ τῆς ἀληθείας ἠξίουν. οὐ μὴν δὲ εἰ μὲν ὁ πάπας ἰδίᾳ συστησάμενος σύνοδον, τοῖς παρ' ἐκείνου λεγομένοις ἅπαντας ἔχει συντιθεμένους, καὶ ὁ τἀναντία λέγων οὐδεὶς, περιττὸν τὸ οἰκουμενικὸν δικαστήριον. εἰ δὲ ἀντιλέγοντες πολλοὶ, καὶ τοσοῦτοι ὡς μηδὲ ἀριθμῷ ὑποπίπτειν δύνασθαι, πῶς δίκαιον ἀπεῖρχθαι θεραπείαν, δι' ἧς μόνης ἔξεστι σώζεσθαι, καὶ τὴν δικαίαν ἔξεστι προειπεῖν; ἔτι εἰ μὲν τυχόντες εἶεν οἱ διϊστάμενοι, εἶχεν ἂν πρόφασιν ὁ λόγος, ὡς μὴ δίκαιον φροντίζειν οὕτω τινῶν, ὡς ἐκείνων χάριν τὴν οἰκουμενικὴν κατατείνειν ἐθέλειν. νῦν δὲ τῶν κεφαλαίων τῆς οἰκουμένης σχεδὸν διϊσταμένων, πῶς οὐ σφόδρα ἄτοπον μὴ μετὰ τῆς οἰκουμένης περὶ τῆς οἰκουμενικῆς συνδιασκέπτεσθαι πίστεως; τῶν πατέρων ταῦτα βοώντων καὶ δι' ὧν εἶπον καὶ δι' ὧν ἔπραξαν. ἔτι τῶν ἀπίστων δοκεῖ, μὴ μόνον περὶ πίστεως, ἀλλὰ καὶ περὶ μόνης ἐκ-

κλησιαστικῆς-

κλησιαστικῆς εὐταξίας περὶ μακαρίους ἐκείνους σύνοδον οἰκουμενικὴν συναθροίζειν, ὡς ταύτῃ πεφυκότων τῶν ἐκκλησιαστικῶν διακρίνεσθαι· ἐνταῦθα δέ, ἔνθα πίστις ἐστὶ τὸ ζητούμενον, οὐκ ἀναγκαῖον εἶναι νομίζειν οἰκουμενικὴν συνιέναι σύνοδον. εἰ δὲ πολλάκις Λατῖνοι τὰ αὐτὰ λέγοιεν, ἐπισείοντες ἡμῖν τὴν τοῦ πάπα ἀρχήν, ἐκεῖνο ἐρούμεθα, ὅτι τὸ ταῦτα ποιεῖν, καταλύειν μᾶλλον ἐστὶ τὴν ἀρχὴν τὴν αὐτοῦ. τὸ δὲ ἐμμένειν τοῖς ἀρχαίοις ἔθεσι, ἀνδρὸς σπουδαίου, καὶ σώζοντος τὰ αὐτοῦ. καὶ πράσσει περὶ τὰ δίκαια, ποιεῖν, πρᾶγμα τοσοῦτον. σκέψασθε γὰρ δίκαιον, τί μὲν ἂν ἐξέβη κοινῇ ψήφῳ ζητηθέντος τοῦ δόγματος, τί δ' ἐξέβη αὐτονομίᾳ χρησαμένων Λατίνων. ἐκείνως μὲν γάρ, εἰρήνην ἂν ἦγεν ἡ ἐκκλησία, καὶ θορύβων ἀπήλλακτο πάντων, οὐδενὸς ῥᾳδίως τοῖς κοινῇ δεδογμένοις ἀντιλέγειν τολμῶντος. εἰ γὰρ καί τινες τῶν παλαιῶν εἰς τοῦτο μανίας ἀφίκοντο, ἀλλ' ὀλίγοι δ' ἦν τινες, καὶ ἐπὶ βραχύ, καὶ πρὸς μικρὸν φανέντες ἀπώλοντο. εἰρήνης δὲ κεχυμένης ἐν ἐκκλησίᾳ, καὶ ὁ πάπας τὴν αὐτῷ προσηκόντων ἀπήλαυεν ἂν τεσσάρων πατριαρχικῶν θρόνων ἀρχῆς νῦν στερούμενος. οὕτω δὲ ἐχόντων, εἰρήνη μὲν οὐδαμοῦ. θεραπεῖαι δὲ ἐπινοοῦνται μὲν πολλαί, καὶ πολλαὶ διαλέξεις, καὶ πρεσβεῖαι τοσαῦται· ἡ νόσος δ', ἐπιμένει, καὶ μενεῖ γ' εἰς ἀεί, ἕως ἂν ἑαυτοῖς Λατῖνοι στοιχῶσιν. ἐξουσίαν ἐν τοῖς ἐκκλησιαστικοῖς πράγμασιν ἔχειν ὁ πάπας, φημὶ κἀγώ. οὐκοῦν μὴ ἀντιλεγέτω τοῖς τῶν πατέρων νόμοις. ἐκεῖνοι οἰκουμενικῷ δικαστηρίῳ τὰ τῆς ἐκκλησίας ἐκύρουν. ἕκαστος τῆς παρ' ἑκάστου συμμαχίας ἐδεῖτο. ἤδεσαν γὰρ τὴν ἀνθρωπίνην ἀσθένειαν. τοῖς ἐκείνων καὶ ὁ πάπας ἐπιθέσθω νόμοις· καὶ μὴ πρότερον κυρούτω τὸ δόγμα, πρὶν ἂν μετὰ τῶν ἄλλων περὶ τούτου συνδιασκέψηται. εἰ δ' οὐ παρὰ τῶν πατέρων, ἀλλὰ παρὰ τῶν ἀποστόλων τὴν ἐξουσίαν εἴληφε, ἀκουέτω Παύλου λέγοντος, νῦν μέν, Οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ, ἵνα μὴ ἐκκοπήν τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ· νῦν δέ, Περὶ τῆς ἐξουσίας ἧς ἔδωκεν ἡμῖν ὁ κύριος εἰς οἰκοδομήν, καὶ οὐκ εἰς καθαίρεσιν. [β. Κορ. ιγ.] ὁ τοίνυν καὶ αὐτὸς ἐξουσίαν ἔχων μὴ κεχρῆσθαι ταύτῃ ἐφ' οἷς οὐ προκόπτει τὸ εὐαγγέλιον, ἵνα κατὰ Παῦλον καὶ αὐτὸς τρέχῃ, τὸν ἀποστολικὸν ἄνδρα ἐν πᾶσι δεικνύς· ᾧ κεχρῆσθαι μέν, πλὴν εἰς οἰκοδομήν, καὶ οὐκ εἰς καθαίρεσιν. ὡς νῦν γε, εἴ τε εἰς οἰκοδομὴν τὸ πρᾶγμα ἀφορᾷ, εἴ τε μὴν εἰς τοὐναντίον, ἀγνοεῖν οὐδένα νομίζω. ἀνάγνωθι δὲ καὶ τὸν περὶ τούτων τῶν θείων ἀποστόλων κανόνα, λδ. ἀριθμούμενον. Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλήν, καὶ μηδέν τι πράττειν περιττὸν, ἄνευ τῆς ἐκείνου γνώμης· [Κανὼν Ἀποσόλ. λδ.] ἐκεῖνα δὲ μόνον πράττειν ἕκαστον, ὅσα τῇ αὐτοῦ παροικίᾳ ἐπιβάλλει, καὶ ταῖς ὑπ' αὐτὴν χώραις. ἀλλὰ μηδὲ ἐκεῖνος ἄνευ τῆς πάντων γνώμης ποιείτω τι. οὕτω γὰρ ὁμόνοια ἔσται, καὶ δοξασθήσεται ὁ Θεὸς διὰ κυρίου ἐν ἁγίῳ πνεύματι, ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον. Ἤκουσας τί διαρρήδην ὁ νόμος βοᾷ; οὔτε τοῖς τῶν ἐθνῶν ἐπισκόποις κυροῦν ἔξεστιν οὐδ' ὁτιοῦν ἄνευ τῆς τοῦ πρώτου γνώμης, οὔτ' ἐκείνῳ κατὰ τὸν ὅμοιον τρόπον, ἄνευ συμφωνούντων τῶν ὑπ' αὐτόν. διὰ τί; ὅτι τούτου μὴ γινομένου, λύεται μὲν ὁμόνοια, ἀντεισάγεται δὲ ἔχθρα καὶ σχίσματα καὶ ἔριδες· τὸ δὲ δεινότατον, ὅτι καὶ τῆς ὀφειλομένης δόξης τὸ θεῖον στερεῖται. ἐλεεινότατα τῶν διακειμένων ἡμῶν, μὴ ἁπλῶς παραδράμητε παρακαλῶ τό, ΟΥΤΩ ΓΑΡ ΟΜΟΝΟΙΑ ΕΣΤΑΙ. οὐ γὰρ εἰκῇ καὶ ὡς ἔτυχεν εἴρηται τοῦτο τοῖς μαθηταῖς τῆς ἀληθείας· ἀλλ' εἰδότες, ὡς τὸ διασκέπτεσθαι καὶ συζητεῖν, καὶ ἀληθείας εὑρετικόν, καὶ εἰρήνης αἴτιον, οὕτω τὸν νόμον ἐξήνεγκαν. εἴτε δὲ λέλυται τὰ τῆς ὁμονοίας διὰ τὸ κυρωθῆναι τὸ δόγμα, ἀγνοούντων τῶν ἄλλων καθολικῶν ἐπισκόπων, εἴτε καὶ μή, σκέψασθε πρὸς Θεοῦ. τίνες δὲ οἱ κύριοι

τοῦτο νομίσαντες, περὶ τῆς κοινῆς ἐξετάσεως, καὶ τοῦτο οὐδεὶς ἀγνοεῖ. καίτοιγε, οὐκ ἴσον τὸ πρωτεῖον τοῦ τε Ῥώμης ἐπισκόπου πρὸς τοὺς ἄλλους καθολικοὺς ἱερεῖς, καὶ τοῦ προεσταμένου ἔθνους ἑνὸς πρὸς τοὺς ὑπ᾽ αὐτόν. ἐκεῖ μὲν γὰρ, ἐν τάξει μόνον, καὶ ἐν λόγοις μᾶλλον ἢ πράγμασι τὰ πρωτεῖα, ἰσότητος ἐν πλείστοις θεωρουμένης· ἐπὶ δὲ τῶν πρώτων ἑκάστου ἔθνους, οὐχ οὕτως. ἀλλ᾽ ἡ μὲν ἰσότης, ἐν λόγοις. τὸ δὲ πρωτεῖον, ἐν πράγμασιν. οὐ τοίνυν εἶπον μὲν ταῦτα οἱ θεῖοι ἀπόστολοι, καὶ ὡς κανόνα καὶ ὅρον ἐξέθεντο, αὐτοὶ δὲ ἑτέρως ἐποίουν, αὐτονομίᾳ χρώμενοι. ἀλλ᾽ ὁ μὲν μακάριος Παῦλος, καίτοι τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, καὶ σκεῦος κληθεὶς ἐκλογῆς, ὅμως ἀνέρχεται πρὸς τοὺς πρὸ αὐτοῦ Γαλ. β. ἀποστόλους, καὶ κοινοῦται αὐτοῖς τὸ εὐαγγέλιον, μήπως εἰς κενὸν τρέχῃ, ἢ ἔδραμεν. ὁ δὲ τῆς ἱερᾶς δωδεκάδος ἔξαρχος, ὁ τῶν ἀποστόλων ἄκρος, ὁ θεῖος Πέτρος, καὶ διορθούμενος παρὰ τοῦ Παύλου, ἀνέχεται, καὶ ἐπιτιμώμενος, σιωπᾷ, καὶ δικαιότερον ἢ ὁ πάπας λέγειν ἔχων, ὡς τά γε ἐμοὶ πεπραγμένα νόμος τοῖς ἄλλοις, κορυφαίῳ γε ἀποδειχθέντι τοῦ ἱεροῦ χοροῦ. ταῦτα οὐκ εἶπεν, ἀλλὰ τήν τε ἐπιτίμησιν ἀσμένως ἐδέξατο, καὶ τοῖς παρὰ τοῦ Παύλου κειμένοις οὐκ ἀντιλέγει. τί γάρ φησιν ὁ μακάριος Παῦλος Γαλάταις Γαλ. β. γράφων; Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. καὶ πάλιν, Ἀλλ᾽ ὅτε εἶδον ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν, εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων, Εἰ σὺ Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς καὶ οὐκ Ἰουδαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν; ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί· εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ. Ἐπεὶ δὲ πάλιν κεκίνηται ὁ τοῦ περιτέμνεσθαι λόγος, διὰ τὸν κεκρατηκότα νόμον Μωσέως, καὶ ζήτημα ἐν τῇ ἐκκλησίᾳ προὐτέθη παρὰ τῶν ἀποστόλων καὶ τῶν ἐν Ἱεροσολύμοις πρεσβυτέρων, τί δεῖ ποιεῖν ἀξιοῦντι μαθεῖν· διακονοῦνται δὲ τὰς ἀποκρίσεις, Παῦλος καὶ Βαρνάβας καί τινες ἄλλοι. γενομένων δὲ ἐν Ἱερουσαλήμ, οὐ τὸ πρωτεῖον ἁρπάζει Πέτρος, οὐδ᾽ ἐμοί φησι κανονίζειν ἐφεῖται τάγε τοιαῦτα· ἀλλὰ συνάγονται μὲν οἱ ἀπόστολοι, συνάγονται δὲ οἱ πρεσβύτεροι, ἰδεῖν περὶ τοῦ λόγου τούτου. καὶ οὔτε Πέτρος τοὺς ἀποστόλους ἐλαύνει, ἑαυτῷ τὸ πρωτεῖον ταύτῃ περιποιούμενος· οὔτε οἱ ἀπόστολοι, τοὺς ἐν Ἱερουσαλὴμ πρεσβυτέρους. οὐ γὰρ τοιαῦτα ἐπαιδεύθησαν παρὰ τοῦ Χριστοῦ, οὐδ᾽ οὕτω τὸ πρωτεῖον ζητεῖν· ἀλλὰ καὶ τῶν ἐσχάτων ἀποκληρωθέντων ὃ ποιητέον δεῖ, σιγῶσιν οἱ πρῶτοι. σημεῖον δέ· συνιόντων γὰρ τῶν ἀποστόλων καὶ πρεσβυτέρων, καὶ πολλῆς περὶ τοῦ πράγματος γενομένης ζητήσεως, Πέτρος μὲν προκατάρχει τοῦ λόγου· διαδέχεται δὲ τὸν λόγον ὁ θεῖος Ἰάκωβος, καὶ τοῖς παρὰ τοῦ Ἰακώβου ἐπείθοντο πάντες, καὶ Πέτρος αὐτὸς, καὶ ἀπόστολοι, καὶ πρεσβύτεροι. οὕτως ἐφίλουν τὸν Χριστὸν οἱ μακάριοι ἐκεῖνοι· οὕτως ἐκεῖνοι ἀληθείας ἅμα καὶ ἐκκλησιαστικῆς εἰρήνης ἐφρόντιζον. εἶτα ἀπόστολοι μὲν, οὕτω ζητοῦντες τὴν ἀλήθειαν διετέλεσαν, καὶ νόμον περὶ τούτων ἐξέθεντο· ὑμεῖς δὲ τἀναντία δρῶντες ἐκείνων, ἄλλους τινὰς πρὸ ὑμῶν αὐτῶν, τῆς τοιαύτης διαστάσεως αἰτιᾶσθαι δίκαιοι; καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον; τί τοίνυν φημί; καὶ ὁρᾶτε ὡς ἁπλᾶ καὶ δίκαια λέγω. εἰ μέν τις οἰκουμενικὴ σύνοδος περὶ τοῦ, τί δεῖ νομίζειν περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος ἐκ τοῦ υἱοῦ ἀπεφήνατο, τοῦτο κρατεῖν, καὶ μὴ τὰ κοινῇ δεδογμένα λύειν. ἢ ἔνοχος ἂν εἴη πάντως τοῖς ἐκεῖ ληφθεῖσιν ἐπιτιμίοις, ὁ παρὰ τὰ διωρισμένα δοξάζων. εἰ δ᾽ οὕτω κοινῇ γνώμῃ περὶ τοῦ προτεθέντος διέκρινεν, ἀναγινώσκεσθαι μὲν τὸ παρὰ τῶν ἁγίων πατέρων ἐκτεθὲν σύμβολον, καὶ πιστεύειν ὅτι τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς ἐκπορεύεται·

πότερον

πότερον δὲ ἐκ μόνου τοῦ πατρὸς ἐκπορεύεται, ἢ καὶ ἐκ τοῦ υἱοῦ, τούτων δὲ μηδ' ἕτερον κύριον ἡγεῖσθαι, ἕως ἂν αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον διὰ κοινοῦ συλλόγου περὶ ἑαυτοῦ ἀποφήνηται, εἴτε ἐκ μόνου τοῦ πατρὸς, εἴτε δὴ καὶ ἐκ τοῦ υἱοῦ. ἀλλ' ὁ περὶ τῆς ἐκπορεύσεως λόγος τοῦ ἁγίου πνεύματος, ἐκ τοῦ υἱοῦ φησὶν, ἀρχαῖος τῇ ἐκκλησίᾳ. καὶ παρὰ τῶν ἀποστόλων καὶ τῶν γραφῶν παραδέδοται· καὶ οὐ δίκαιον περὶ τούτου σύνοδον οἰκουμενικὴν ἀθροίζειν. πρῶτον μὲν τοῦτο ζητεῖται, εἰ παρὰ τῶν ἀποστόλων, εἰ παρὰ τῶν γραφῶν παραδέδοται, καὶ οὐ χρὴ τὰ ζητούμενα, ὡς ὁμολογούμενα ὑποτίθεσθαι. ἔπειτα τίς οὐκ οἶδεν ὅτι καὶ τὸ, ὁμοούσιον εἶναι τὸν υἱὸν τῷ πατρὶ, καὶ τὸ πνεῦμα πατρὶ καὶ υἱῷ, καὶ τ' ἄλλα ὅσα ἐν οἰκουμενικαῖς ἐκυρώθησαν πράξεσιν, ἀρχαῖά τε ἦσαν, καὶ ἀποστολικαὶ καὶ προφητικαὶ παραδόσεις, μᾶλλον δὲ πνεύματος ἁγίου φωναί; ἀλλὰ καὶ τούτων ὄντων, συνόδων οἰκουμενικῶν τῇ ἐκκλησίᾳ ἐδέησεν, ἵνα τὸ ἀληθὲς ζητηθῇ, καὶ ζητηθὲν καὶ εὑρεθῇ, εὑρεθὲν κηρυχθῇ, καὶ τοῖς ἀντιλέγουσι πᾶσα πρόφασις ἀφαιρεθῇ. ἀλλ' ἐν ταῖς οἰκουμενικαῖς τῶν συνόδων, φησὶν, οὐ πρόθεσις ἦν ζητηθῆναι τὴν ἀλήθειαν, ἀλλὰ συνιέναι, ἵνα ταύτην κυρώσωσιν· ὥστε καὶ νῦν οὐ ζητηθῆναι τὸ δόγμα δίκαιον, ἀλλὰ κυρωθῆναι. πῶς τοῦτο λέγεις; εἰ μὲν μηδεμιᾶς καθολικῆς ἐκκλησίας ἀντιλεγούσης, ἢ μιᾶς μόνης, ἢ ὀλίγων δή τινων, φημὶ κἀγώ. εἰ δὲ πέντε τῶν καθολικῶν ἐκκλησιῶν οὐσῶν, ἡ μία ταῖς λοιπαῖς ἀντιλέγει, οὐ δίκαιον συνιέναι πάσας, καὶ μετ' εὐχῶν μυρίων καὶ τοσαύτης ζητήσεως κυρωθῆναι τὸ δόγμα; ἔπειτα τί βούλονται τὰ ἐν ταῖς συνόδοις ἀναγινωσκόμενα, τὰ προβαλλόμενα, αἱ ἐνστάσεις, αἱ πρὸς ταύτας λύσεις; οὐχ' ἵνα εὑρεθῇ ἡ ἀλήθεια; πῶς δ' ἂν εὑρεθείη, μὴ ζητηθεῖσα πρότερον; ἀνάγνωθι δὲ καὶ τὰ ἐν τῇ πρώτῃ συνόδῳ. ἐντεύξῃ γὰρ ἐκεῖ φιλοσόφοις, μέχρι πολλοῦ τινὸς ἀντιλέγουσιν, εἶτα, τῆς ἀληθείας ἀποδειχθείσης, καταθεμένοις τὴν μάχην. Ἀλλὰ τίνες, φασὶν, αἱ τέσσαρες ἐκκλησίαι; πρὸς μίαν ἡμῖν ὁ πόλεμος, τὴν ἐν Κωνσταντίνου πόλει. αἱ γὰρ τρεῖς, λόγος μόνον, πράγματος ἔρημος, ὑπὸ βαρβάροις τελοῦσαι, καὶ ἥκιστα ἔχουσαι τὸν ὑπὲρ ἀληθείας ἐροῦντα, ἅτε σοφίας μηδαμῶς ἐκεῖ χώραν ἐχούσης. οὐ τοῦτο, ὦ μακάριε, ὁ τοῦ δικαίου βούλεται λόγος. οὐδὲ, διότι παρεδόθησαν Θεοῦ κρίμασι, καταφρονητέας αὐτὰς εὐθὺς νομιοῦμεν, ἕως ἂν εἰδῶμεν, ἴδιον Χριστιανῶν εἶναι τοὺς πειρασμούς. ἔπειτα, αἱ τοιαῦται ἐκκλησίαι καὶ κατὰ τὴν ἑβδόμην σύνοδον ὑπὸ βαρβάροις ἦσαν· καὶ παρὰ τοῦτο, τῶν αὐταῖς προσηκόντων οὐκ ἐστερήθησαν, ἀλλὰ καὶ τῶν καθολικῶν ἀρχιερέων μὴ παραγινομένων, τοποτηρηταῖς ἕκαστος τὴν ἑαυτοῦ καθέδραν ἐπλήρου. καὶ ὁ πάπας Ἀδριανὸς ἐπῄνει τὰ πεπραγμένα. Ὅτι δὲ σοφίας ἐν ἐκείναις ταῖς ἐκκλησίαις λόγος οὐδεὶς· ζητῶ περὶ τίνος σοφίας ὁ λόγος, τῆς καθ' ἡμᾶς καὶ πνευματικῆς, ἢ τῆς ἔξωθεν; εἰ μὲν τῆς ἔξωθεν, ἔστω, καὶ οὐδὲν πρὸς τὸν λόγον· οὐδὲ γὰρ διὰ ταύτης ἡμεῖς πρὸς τὴν ἀλήθειαν ἐχειραγωγήθημεν, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ· (α. Κορ. α.) εἰ δὲ περὶ τῆς πνευματικῆς καὶ τῆς ἡμετέρας, οὐκ ἀληθὴς ὁ λόγος· καὶ μαρτυροῦσι τούτοις, πολλοὶ μὲν τῶν ἐκεῖ διαπτύσαντες κόσμον, καὶ πρὸς τὸν οὐρανὸν μόνον βλέποντες· πολλοὶ δὲ καὶ μέχρις αἵματος πρὸς τὴν ἀσέβειαν ἀντικαταστάμενοι, καὶ αἵμασιν οὐ λόγοις ἑκάστοτε τὴν ἐκκλησίαν στηρίζοντες, ταῦτα δὲ ὡς οὐκ ἄνευ πολλῆς μελέτης γραφῶν οὐδὲ λόγου δεῖ. ἐπὶ δὲ τῆς ἕκτης συνόδου ὁ πάπας Ἀγάθων ἀποκλαιόμενος τὴν τῆς Ῥώμης ἐκκλησίαν, πρὸς τοὺς βασιλέας Ῥωμαίων γράφων, τοιάδε φησί· Στέλλομεν τοὺς παρόντας συνδούλους ἡμῶν, τὸν δεῖνα (ἐν Ἀγάθωνος ἐπιστ.) καὶ τὸν δεῖνα· εἶτ' εὐθὺς ἐπάγει· Παρὰ γὰρ ἀνθρώποις ἐν μέσῳ ἐθνῶν τυγχάνουσι καὶ ἀπὸ σωματικοῦ μόχθου τὴν τροφὴν μετὰ μεγάλου δισταγμοῦ ποριζομένοις, πῶς εἰς τὸ πλή-

“ρεῖς δυνήσονται εὑρεθῆναι ἡ τῶν γραφῶν εἴδησις; εἰ μὴ ὅτι κανονικῶς ἀπὸ τῶν ἁγίων τῶν προηγησαμένων, καὶ τῶν ἁγίων πέντε συνόδων, ἅπερ ὡρισμένα εἰσὶν, ἐν ἁπλότητι καρδίας, καὶ ἀναμφιβόλως, ἀπὸ τῆς παραδοθείσης παρὰ τῶν πατέρων πίστεως φυλάττομεν, ἣν καὶ ἐξαίρετον διὰ παντὸς ἔχειν εὐχόμενοι καὶ σπεύδοντες, ἵνα μηδὲν παρὰ τὰ κανονικῶς ὁρισθέντα σμικρυνθῇ, μηδ' ἐναλλαγῇ, ἢ προστεθῇ, ἀλλὰ ταῦτα καὶ ῥήμασι καὶ νοήμασι ἀπαράτρωτα φυλαχθῶσιν.” Εἰ δὲ κἀκεῖνοι ἐπὶ τὴν κοινὴν ἀκρόασιν καλούμενοι, τὰ αὐτὰ φαῖεν ἅπερ καὶ ὁ μακάριος Ἀγάθων, οὐ δίκαια ἂν εἴποιεν καὶ προσήκοντα τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ; εἰ δὲ ὁ πάπας, διὰ τὸ μὴ τελείως ἔχειν τὴν τῶν γραφῶν εἴδησιν, καὶ διὰ τὸ ἁπλοϊκῶς τὰ περὶ πίστεως εἰδέναι, καὶ διὰ τὸ ἐξαίρετον ἔχειν ἰδίωμα, μήτε ἐναλλάττειν, μήτε προστιθέναι, μήτε ἐν ῥήμασι, μήτε ἐν νοήμασι, καὶ μὴ μόνον ἔχειν τοῦτο ἰδίωμα, ἀλλὰ καὶ εὔχεσθαι διὰ τέλους ἔχειν, ὅμως διὰ ταῦτα οὐκ ἀπεστέρηται τῶν προσηκόντων αὐτῷ. πῶς δίκαιον τὰς ἑτέρας ἐκκλησίας διὰ ταῦτα τὰ ἑαυτῶν ζημιοῦσθαι; ἢ γὰρ κἀκεῖνος, εἴπερ καὶ αὗται· ἢ μηδ' αὗται, εἴπερ μηδ' ἐκεῖνος· εἷς γὰρ καὶ ὁ αὐτὸς διὰ πάντων ὁ τοῦ δικαίου λόγος χωρεῖ, κἂν ἄλλοτε ἄλλως ἔχῃ τὰ πράγματα. Ἀλλ' ἐπεφύησαν ποτὲ τῇ Ῥωμαίων ἐκκλησίᾳ, φησὶν, ἄνθρωποι, τῆς Ἀρείου παραφορᾶς· οἳ τὸν υἱὸν τῆς πατρικῆς οὐσίας ἀποστεροῦντες, ἄλλα τε ἔλεγον κατὰ τῆς ἑαυτῶν κεφαλῆς, καὶ δὴ καὶ ἐκ τοῦ μὴ προβάλλειν τὸ πνεῦμα τὸν υἱὸν τὸ τῆς ἀνομίας συνῆγον συμπέρασμα· διὰ ταῦτα καλῶς ποιοῦσα ἡ ἐκκλησία, τότε δόγμα κύριον ἐκεῖνο, καὶ τῷ συμβόλῳ προστίθησιν· εἰ μὲν οἰκονομοῦσα ἡ ἐκκλησία τοῦτο ποιεῖ, δεδόσθω· καὶ δὴ καιρικὴν ποτὲ τὴν οἰκονομίαν εἶναι, καὶ τοῦ νέφους παρελθόντος μηκέτι σφίζεσθαι· καίτοι γε οὐχ ἁπλῶς οἰκονομεῖν ἔξεστιν, οὐδὲ κακῷ τὸ κακὸν ἰᾶσθαι· εἰ δὲ καὶ ἀληθὲς ἡγούμενοι, πῶς δίκαιον ἐφ' ἑτέραν τὴν αἰτίαν τρέπειν; ἄλλως τε καὶ ἀληθοῦς ὄντος τοῦ δόγματος, οὐχ οὕτω τῶν ἐναντίων τὸν λόγον λύειν ἐχρῆν· εἰ γὰρ διότι τὸ προβάλλειν ὁ υἱὸς ἔχοι, καὶ τῆς αὐτῆς οὐσίας ἐστὶ τῷ πατρὶ, ἀπηλλοτρίωται ἄρα τὸ πνεῦμα τῆς πατρικῆς οὐσίας, ἐστερημένον τῆς προβολῆς· οὐ μὴν ἀλλ' εἴγε ἅπερ εἶπον πατρὶ τοῦ υἱοῦ, ταῦτα καὶ πατρὶ τοῦ πνεύματος ἔλεγον ὡς ἐπειδήπερ μόνον αἴτιόν ἐστιν, ἔλαττόν ἐστι τῆς πατρικῆς οὐσίας, τί ποτε ἂν πρὸς αὐτοὺς ἐλέγετε; σκῆψις ταῦτα ὦ ἄνθρωποι, καὶ τῆς ἀληθείας ἀποφυγή· ἄλλως τε πῶς οὐχ ὑπέρδεινόν ἐστι, ὑπὲρ μὲν ἐκείνων καὶ κακῶς λύειν αἱρεῖσθαι, καὶ κινεῖν τὰ ἀκίνητα οἷς ἤρκεσεν ἂν, εἰς ἔλεγχον τὸ παρὰ πασῶν συνόδων ὡς ἀσεβεῖς ἐλαύνεσθαι· ἡμῶν δὲ μέτρια καὶ ἀληθῆ λεγόντων, καὶ νόμοις ἀποστόλων χρωμένων οἳ οὐκ ἐῶσιν ἴδια τὰ τῆς ἐκκλησίας ποιεῖσθαι· μηδ' ὁντινοῦν λόγον ποιεῖσθαι, ἀλλὰ τὴν τοῦ πάπα καθάπερ μορμολυκεῖον ἡμῖν ἐπισείειν ἀρχήν. Ἀλλὰ κληθέντες, φασὶν, ἐπὶ τὴν σύνοδον ἀπαντῆσαι οὐκ ἠνέσχεσθε· πῶς οὖν δίκαιον, ἐπὶ σύνοδον μὲν καλουμένους ἀποπηδᾶν, σύνοδον δὲ διαλυθεῖσαν πάλιν αἰτεῖν; πότε ταῦτα; ἐπὶ τίνος βασιλέως; τίνος ἐπισκόπου Ῥώμης ἱεραρχοῦντος; ποῦ τὰ ἐπιστολῶν ἀντίγραφα τὰ πρὸς τὸν βασιλέα Ῥωμαίων, τὰ πρὸς τὴν ἡμετέραν ἐκκλησίαν, τὰ πρὸς ἄλλους καθολικοὺς τῶν ἐπισκόπων; αἱ δὲ παρ' ἡμῶν ἐπιστολαὶ ἀποσειόμεναι τὴν σύνοδον, ποῦ; ἢ γὰρ ταῦτα δεικνύτωσαν, ἢ ἐκεῖνα μὴ λεγέτωσαν. Καὶ περὶ μὲν τοῦ μὴ ἐξεῖναι τῇ Ῥωμαίων ἐκκλησίᾳ καθ' ἑαυτὴν τὰ κοινὰ τῆς ἐκκλησίας κυροῦν, καὶ ὡς τοῦτο τὴν Χριστοῦ ἐκκλησίαν διέρρηξε, καὶ ὡς ταῦτα οὔτε οἱ τῶν ἀποστόλων, οὔτε οἱ τῶν πατέρων βούλονται νόμοι, καὶ τὰ παρόντα ἀρκεῖ.

ΤΟΥ ΑΥΤΟΥ,

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΠΑΠΑ ΑΡΧΗΣ ΒΙΒΛΙΟΝ β.

ΦΑΣΙΝ οἱ Λατῖνοι τὸν μακάριον Πέτρον, κορυφαῖον ὑπὸ τοῦ κυρίου καταστάντα τῆς ἱερᾶς δωδεκάδος, εἰκότως καὶ τὰς κλεῖς ἐγχειρισθῆναι, ἧς πύλαι ᾅδου οὐ κατισχύσουσι· καὶ ὑπὲρ τῆς πίστεως αὐτοῦ δεηθῆναι τὸν Χριστόν, μὴ ἐκλιπεῖν· καὶ τό, Στήριξον δὲ ἐπιστραφεὶς τοὺς ἀδελφούς σου. καί, Ποίμαινε τὰ πρόβατά μου, καὶ ὅσα τοιαῦτα, εἰς ταυτὸ φασὶ φέρειν, δεικνῦντα σαφῶς τὴν τοῦ Πέτρου ἀρχήν· οὗ διάδοχος ὁ πάπας καταστάς, καὶ τὴν ἐκείνου πᾶσαν ἀρχὴν εἰληφὼς παρ' αὐτοῦ τοῦ Πέτρου, δύναται καὶ αὐτὸς ὅσα καὶ Πέτρος περὶ τὴν πίστιν· καὶ ἀδύνατον εἶναι αὐτὸν διὰ ταῦτα, καὶ τῶν ὀρθῶν ἐκπεσεῖν δογμάτων· ἐκπεσόντος γάρ, τὰ τῆς πίστεως οἴχεται· τοῦτο δὲ καὶ ὁ μακάριος Ἀγάθων μαρτυρεῖ λέγων, «Ἡ ἀποστολικὴ ἐκκλησία αὐτοῦ, οὐδέποτε ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας ἐν οἱῳδήποτε μέρει πλάνης ἐκάμφθη· καὶ ὅτι διὰ ταῦτα καὶ τὸ πρῶτος εἶναι παρὰ τῶν ἀποστόλων εἴληφε, καὶ τὴν ἔφεσιν ἔχει λαβών· καὶ τὸ πρεσβεῖον αὐτῷ τοῦτον τὸν λόγον ἔχει πρὸς τοὺς ἄλλους καθολικοὺς θρόνους, ὃν δὴ καὶ ὁ Κωνσταντινουπόλεως ἔχει πρὸς τοὺς ὑπ' αὐτὸν ἱεράρχας· καὶ ὅτι αὐτῷ μόνῳ ἔξεστιν, οἰκουμενικὴν ἀθροίζειν σύνοδον ὅτε βούλεται· καὶ τὰ ἐκκλησιαστικὰ κανονίζεσθαι ἄνευ τῆς αὐτοῦ γνώμης, οὐ θέμις· καὶ αὐτὸς πάντας ἀνακρίνων, ὑπ' οὐδενὸς ἀνακρίνεται οὔτε ἐν δόγμασιν, οὔτε ἐν ἄλλοις ἔθεσι· καὶ ὅτι οὐκ ἔστιν ὁ πάπας ἐπίσκοπος τινὸς πόλεως, Ῥώμης τυχὸν ἤ τινος ἄλλης, ὥσπερ ἑκάστης πόλεως ἴδιος ποιμὴν ἕκαστος· ἀλλὰ ἁπλῶς ἐπίσκοπος, ὅπερ οὐκ ἔστιν ἐπ' ἄλλων ἰδεῖν· διὰ τοῦτο οὐδ' ἐν οἷς γράφει Ῥώμης ἐπίσκοπον ἑαυτὸν καλεῖ· καὶ ὅτι μόνος ὁ τοῦ πάπα θρόνος ἔχει τὸ ἀποστολικὸς ὀνομάζεσθαι θρόνος· ἐν γὰρ τῇ Ῥώμῃ καὶ πολὺν διέτριψε χρόνον ὁ μακάριος Πέτρος, καὶ ἐν ταύτῃ καὶ τὸν βίον κατέλυσε· καὶ ὅτι πάντα τὰ ἀνωτέρω εἰρημένα παρὰ τοῦ Πέτρου καὶ τῶν ἄλλων ἀποστόλων, ὁ πάπας ἔχει λαβών, καὶ δεῖ πάντας αὐτῷ πείθεσθαι, καὶ μηδένα ἀντιλέγειν, ἐκείνου κελεύοντος. Ταῦτα μὲν ὑπὲρ τῆς ἑαυτῶν ἐκκλησίας Λατῖνοι φασίν· Ἐγὼ δὲ λόγων πρὸς ταῦτα οὐκ ἀπορῶν, ἀπορῶ πρὸς τίνας τοὺς λόγους ποιήσομαι· εἰ μὲν γὰρ πρὸς Λατίνους, καὶ πῶς ἔστιν αὐτοῖς τε ἀντιλέγειν, καὶ τῶν λεγομένων καθίζειν κριτάς; εἰ δὲ πρὸς Γραικούς, οὐ δίκαια οὐδὲ μέτρια πάσχειν ἂν φαῖεν Λατῖνοι, κριτῶν καθημένων, οὓς ἐχθροὺς τῇ ἐκκλησιαστικῇ νομίζουσιν· οὐ μὴν διὰ ταῦτα δίκαιον σιωπῇ τἀληθὲς παρελθεῖν· ἀλλὰ λέγειν μὲν μετὰ παρρησίας τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα· εὔχεσθαι δέ, ὥστε τοὺς ἐντυγχανομένους τῷ συγγράμματι, μηδὲν τῆς ἀληθείας πρότερον ἄγειν· ἴσως γὰρ τοῖς ταῦτα ζητοῦσιν, ἔσται ἀπὸ τῶν λόγων ὠφέλεια. Λέγομεν δή. περὶ μὲν τῆς ἀρχῆς τοῦ μακαρίου Πέτρου, καὶ ὡς ἔξαρχος κατέστη τῶν ἄλλων ἀποστόλων, καὶ πόσον ἐκείνῳ τὸ συγκεχωρηκὸς παρὰ τοῦ ἱεροῦ χοροῦ ὠφείλετο, ἐν τῷ παρόντι ζητεῖν, οὐκ οἴομαι δεῖν· ἔστω δὲ ποσοῦν τι, ὁπόσον ἄν τις καὶ βούλοιτο· οὐ μὴν ἐκεῖνο λέγω, ὡς ὁ πάπας περὶ τοῦ μακαρίου Πέτρου,

«Λουκ. κβ.
«Ἰωάν. κα.
«Ἀγαθων.

τὸ

τὸ πρῶτος εἶναι τῶν ἄλλων ἐπισκόπων εἴληφε· δύο γὰρ περὶ τὸν πάπαν θεωρουμένων, τό τε εἶναι Ῥώμης ἐπίσκοπον, ὡς αἱ σύνοδοι μαρτυροῦσι, καὶ ἔτι τὸ πρῶτον εἶναι τῶν ἄλλων ἐπισκόπων· τὸ μὲν, παρὰ τοῦ Πέτρου ἔχει λαβὼν, τὸ εἶναι Ῥώμης ἐπίσκοπος· τὸ δὲ, παρὰ τῶν μακαρίων πατέρων, καὶ τῶν εὐσεβῶν βασιλέων, πολλοῖς χρόνοις ὕστερον, διὰ τὸ δίκαιον εἶναι, καὶ τὰ ἐκκλησιαστικὰ ὑπὸ τάξιν τελεῖν, καὶ πολλῷ πρότερον ἢ τὰ πολιτικά· καὶ ὅτι ταῦτα ἀληθῆ, παρέξομαί σοι μάρτυρας, οὐ δύο ἢ τρεῖς, οὐδὲ δὶς τοσούτους, ἀλλὰ τριάκοντα καὶ ἑξακοσίους, καὶ τούτους ἁγίους πατέρας· ἀνάγνωθι κανόνα τῆς ἁγίας καὶ οἰκουμενικῆς τετάρτης συνόδου, εἰκοστὸν ὄγδοον ἀριθμούμενον, ὅς φησι·

Συνόδ. δ.

Πανταχοῦ τοῖς τῶν ἁγίων πατέρων ὅροις ἑπόμενοι, καὶ τὸν ἀρτίως ἀναγνωσθέντα κανόνα τῶν ἑκατὸν πεντήκοντα θεοφιλεστάτων ἐπισκόπων, τῶν συναχθέντων ἐπὶ τοῦ εὐσεβοῦς τὴν μνήμην μεγάλου Θεοδοσίου, τοῦ γενομένου βασιλέως ἐν τῇ βασιλίδι Κωνσταντινουπόλει, νέᾳ Ῥώμῃ, γνωρίζοντες, τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζομέν τε καὶ ψηφιζόμεθα περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης ἐκκλησίας, τῆς αὐτῆς Κωνσταντινουπόλεως, νέας Ῥώμης· καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, οἱ πατέρες εἰκότως ἀποδεδώκασι τὰ πρεσβεῖα· καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ ἑκατὸν πεντήκοντα θεοφιλέστατοι ἐπίσκοποι, τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῷ τῆς νέας ἁγιωτάτῳ θρόνῳ· εὐλόγως κρίναντες, τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν, καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων τῇ πρεσβυτέρᾳ βασιλίδι πόλει, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασιν, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν· Τί διὰ τούτων μανθάνομεν; τί γε ἄλλο, ἢ τὸ μήτε παρὰ τῶν ἀποστόλων, ἀλλὰ παρὰ τῶν πατέρων δοθῆναι τῷ πάπᾳ τὸ πρωτεῖον τῶν ἄλλων ἐκκλησιῶν; καὶ διὰ τὸ εἶναι τὴν Ῥώμην, τῶν πόλεων βασιλεύουσαν; παρὰ τῶν πατέρων γάρ φησιν ὁ κανὼν δέδοται τῷ πάπᾳ τὰ πρεσβεῖα, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην. εἰ δὲ διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, ἔχει τὰ πρεσβεῖα, οὐκ ἄρα ἔχει ταῦτα, διὰ τὸ εἶναι Πέτρου διάδοχος. εἰ δὲ καὶ παρὰ πατέρων τοῦτ' ἔχει, οὐκ ἄρα παρὰ τῶν ἀποστόλων. ἀνάγνωθι καὶ νεαρὰν ἑκατοστὴν Ἰουστινιανοῦ, ἵνα διὰ πάντων τὴν ἀλήθειαν ἴδῃς συμβαίνουσαν.

Ἰουστινιαν.

Θεσπίζομεν, φησὶν, κατὰ τοὺς τῶν ἁγίων συνόδων ὅρους, τὸν ἁγιώτατον τῆς πρεσβυτέρας Ῥώμης ἐπίσκοπον, πρῶτον εἶναι πάντων τῶν ἱερέων· τὸν δὲ μακαριώτατον ἐπίσκοπον Κωνσταντινουπόλεως, νέας Ῥώμης, δευτέραν τάξιν ἐπέχειν μετὰ τὸν θρόνον τῆς πρεσβυτέρας Ῥώμης, τῶν δὲ ἄλλων πάντων προτιμᾶσθαι. Ἀκούεις, τὸ πρῶτον εἶναι τὸν πάπαν πάντων τῶν ἱερέων, Ὅρος ἐστὶ, φησὶ, τῶν ἁγίων συνόδων. εἰ δὲ ὅρος τοῦτο τῶν ἁγίων συνόδων, πῶς ἄρα παρὰ τοῦ Πέτρου τὸ πρωτεῖον τῶν ἱερέων ὁ πάπας εἴληφε; τί οὖν, ἄν τις φαίη, οὐκ ἔτι λοιπὸν ὁ πάπας τὸ σύνολον τοῦ Πέτρου διάδοχος; ἔστι μὲν, ἀλλ' ὡς ἐπίσκοπος. ὥσπερ καὶ τῶν ἐπισκόπων ἕκαστος ἔχει τῶν ὑπ' ἐκείνου χειροτονηθέντων. πολλοὶ δὲ οἱ διὰ τῶν χειρῶν ἐκείνου τὴν χάριν δεξάμενοι ταύτην. καὶ τῶν ἱεραρχῶν δὲ ἕκαστος, διάδοχος κατά γε τοῦτο ἑκάστου τῶν ἀποστόλων ὑφ' οὗ κατὰ διαδοχὴν τὴν ἱερωσύνην εἴληφε. κατὰ μὲν οὖν τὸν λόγον τοῦτον, πολλοὶ καὶ Πέτρου καὶ τῶν ἄλλων ἀποστόλων διάδοχοι· κατὰ δὲ ἄλλα, οὐδαμῶς. Πέτρος μὲν γὰρ καὶ ἀπόστολος καὶ ἀποστόλων ἔξαρχος· ὁ δὲ πάπας, οὔτε ἀπόστολος, (οὐδὲ γὰρ ἀποστόλους, ἀλλὰ καὶ ποιμένας καὶ διδασκάλους οἱ ἀπόστολοι ἐχειροτόνησαν) οὔτε πολλῷ μᾶλλον ἀποστόλων κορυφαῖος. καὶ ὁ μὲν Πέτρος, διδάσκαλος πάσης τῆς οἰκουμένης. ἤκουσε γὰρ μετὰ τῶν ἄλλων καὶ αὐτὸς,

Μαρκ. ιϛ.

Κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει. ὁ δὲ πάπας, ἐπίσκοπος Ῥώμης καὶ ἔστι καὶ ὀνομάζεται. καὶ ὁ μὲν

Πέτρος

Πέτρος ἐν Ἀντιοχείᾳ μὲν τὸν δεῖνα χειροτονεῖ, ἐν Ἀλεξανδρείᾳ δὲ ἕτερον, καὶ ἄλλον ἀλλαχοῦ· τῷ δὲ Ῥώμης, οὐκ ἐφεῖται ταῦτα ποιεῖν. καὶ ὁ μὲν Πέτρος, Ῥώμης ἐπίσκοπον χειροτονεῖ· ὁ δὲ Ῥώμης, πάπαν ἕτερον οὐ προσβάλλεται. καὶ ὁ μὲν Πέτρος ἁπλῶς ἤκουσεν, Ὃ λύσεις ἢ δήσεις, ἔσται λελυμένον ἢ δεδεμένον ἐν τοῖς οὐρανοῖς· πρὸς δὲ τὸν Ῥώμης αὐτὸς διαβιβάζων τὴν χάριν, οὐχ ἁπλῶς εἴρηκεν, ἀλλά, Δήσεις ἃ δεῖ δεθῆναι, καὶ λύσεις πάλιν μετὰ τοῦ δέοντος. καὶ ἃ μὲν εἶπε Πέτρος, πνεύματος ἁγίου φωναί· ποῦ δὲ ταῦτα καὶ τῷ πάπᾳ κοινά; οὐκ ἄρα λοιπὸν κατὰ πάντα ὁ Ῥώμης ἐπίσκοπος τοῦ Πέτρου διάδοχος, ἀλλὰ καθ' ἐκεῖνα μόνον, καθὰ καὶ τῶν ὑπ' ἐκείνου χειροτονηθέντων ἕκαστος· ὥστε δηλονότι δεσμεῖν τε καὶ λύειν, ὥστε βαπτίζειν, ὥστε διδάσκειν, ὥστε ἐπιστρέφειν τοὺς ἐκ τῆς ἀληθείας παρασυρέντας, καὶ τ' ἄλλα ποιεῖν, οἷς ὁ ἱεράρχης χαρακτηρίζεται. ὅτι δὲ ἀδύνατον τὸν πάπαν τῶν ὀρθῶν ἐκπεσεῖν δογμάτων, τοῦτο δὴ καὶ ὑπὲρ τὴν τοῦ Πέτρου διαδοχήν. ἐκεῖνος μὲν γὰρ καὶ προσέκρουσε, καί τοιγε σφόδρα διατεινόμενος μὴ τοῦτο παθεῖν. ἐρωτῶ δὲ καὶ τοῦτο· Δύναται ὁ πάπας ψεύδους, φιλοχρηματίας, κενῆς δόξης, καὶ τῶν ἄλλων ἀπηριθμημένων ἥττων ὀφθῆναι, ἢ καὶ τούτων ἀνώτερος; εἰ μὲν δὴ κἀκείνων κρείττων, εἰπάτωσαν. εἰ δὲ τοῦτο οὐδὲν λέγειν ἐστί, σφάλλεται γὰρ κἀκεῖνος πολλὰ περὶ τὴν συνείδησιν, ἄνθρωπος ὤν, δῆλον, ὡς περὶ ταῦτα ἁμαρτάνων, ἐνδέχεται καὶ περὶ τὴν πίστιν ναυάγιον ὑποστῆναι. τοῦτο καὶ ὁ μακάριος φησὶ Παῦλος Τιμοθέῳ γράφων, Ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἥντινες ἀπωσάμενοι, καὶ περὶ πίστιν ἐναυάγησαν. ὁρᾷς ὡς τὸν περὶ συνείδησιν οὐχ ὑγιαίνοντα, ἐνδέχεται καὶ περὶ τὴν πίστιν ἀσθενῆσαι; εἰ δὲ ὁ πάπας οὐ πάντη τὰ περὶ τὴν συνείδησιν ὑγιής, τῷ δὲ τοιούτῳ καὶ ἀσθενῆσαι περὶ τὴν πίστιν ἐνδέχεται· ψεῦδος λοιπόν, ὡς ἀδύνατον τὸν πάπαν τῶν ὀρθῶν ἐκπεσεῖν δογμάτων. αὐτὸ δὲ τὸ περὶ τὴν συνείδησιν ἁμαρτάνειν, οὐκ εἶδος ἀθεΐας ἐστί; Θεὸν γάρ φησιν ὁ Παῦλος, τοῖς μὲν λόγοις ὁμολογοῦσι, τοῖς δ' ἔργοις ἀρνοῦνται. πῶς οὖν ἔργοις μὲν ἐνδέχεται τὸν πάπαν ἀρνεῖσθαι Θεόν, λόγοις δὲ οὐδαμῶς; καὶ Ὀνώριος δὲ Ῥώμης ἐπίσκοπος τῶν ὀρθῶν τε ἐξέβη δογμάτων, καὶ παρὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου ἀποκεκήρυκται. ὅτι δὲ ταῦτα ἀληθῆ, ἀνάγνωθι ταύτην τὴν μαρτυρίαν.

Ματθ. ις.
Κλήμεντος ἐπισ.
Τιμοθ. α. κεφ. α.

Ἀπὸ τῆς ις. πράξεως τῶν πρακτικῶν τῆς οἰκουμενικῆς ἕκτης συνόδου.

Ἡ ἁγία σύνοδος εἶπε, Τοὺς καθάπαξ κατακειμένους ἀποδειχθέντας, καὶ κατὰ ἀπόφασιν ἡμετέραν ἤδη ἐκβληθέντας ἐκ τῶν ἱερῶν διπτύχων, δέον καθέστηκεν καὶ εἰς τὰς ἐκβοήσεις τούτους ὀνόμασι ἀναθεματισθῆναι. εἶτα τῆς εὐφημίας τῶν βασιλέων γενομένης, ἐπήγαγε ταῦτα προσεχῶς· Θεοδώρῳ αἱρετικῷ τῷ Φαρανίτῃ, ἀνάθεμα. Σεργίῳ αἱρετικῷ, ἀνάθεμα· Πύρρῳ αἱρετικῷ, ἀνάθεμα· πᾶσι τοῖς ἀντιποιουμένοις τῶν αἱρετικῶν, ἀνάθεμα. ἀνάγνωθι καὶ ἑτέραν μαρτυρίαν, ἀπὸ τῶν αὐτῶν πρακτικῶν.

Συνοδ. ς.

Ἀπὸ τοῦ προσφωνητικοῦ λόγου τῆς ἁγίας συνόδου πρὸς τὸν βασιλέα.

Τὰς δὲ καινὰς κενοφωνίας, καὶ τοὺς τούτων ἐφευρετάς, πόρρω που τῶν ἐκκλησιαστικῶν περιβόλων ἐκβαλλόμενοι, καὶ τῷ ἀναθέματι δικαίως καθυποβαλλόμενοι. φαμὲν δή, Θεόδωρον

" τὸν τῆς Φαρρὰν, Σέργιόν τε, καὶ Παῦλον, Πύρρον ἅμα καὶ Πέτρον τοὺς Κωνσταντινουπόλεως " προεδρεύσαντας, ἔτι δὲ καὶ Κῦρον τὸν τῆς Ἀλεξανδρέων ἱερατεύσαντα, καὶ σὺν αὐτοῖς, Ὀνώριον τὸν τῆς Ῥώμης γενόμενον πρόεδρον. Εἰ δὲ Ὀνώριος Ῥώμης ἐπίσκοπος ὢν, ἔστι δὲ καὶ αἱρετικὸς, δυνατὸν ἄρα τὸν πάπαν τῶν ὀρθῶν ἐκπεσεῖν δογμάτων. οὐκ ἄρα ἐκλιπόντος αὐτοῦ τὴν πίστιν, ὃ τοῦ κυρίου διὰ πέπτωκε λόγος, ὃν περὶ τῆς ἐκκλησίας εἰρήκει, Πύλας ᾅδου μὴ δυνηθῆναι ταύτης περιγενέσθαι. ἔστι γὰρ ἐν τοῖς λοιποῖς ἐπισκόποις, καὶ μάλα τὴν εὐσέβειαν σώζεσθαι. φανερὸν δὲ ἐκ τούτων μηδὲ τῇ τῆς Ῥώμης ἐκκλησίᾳ προσήκειν, τὸ ἐπὶ ταύτῃ τῇ πέτρᾳ τὴν ἐκκλησίαν οἰκοδομεῖσθαι. τοῦτο γὰρ καὶ φορτικὸν, καὶ οὐ πόῤῥω τῆς Ἰουδαϊκῆς ταπεινότητος, περιγράφειν τῇ Ῥώμῃ τὴν ἐκκλησίαν. ἀλλ᾽ ᾠκοδόμησε μὲν τὴν ἐκκλησίαν ὁ Χριστὸς, ᾠκοδόμησε δὲ αὐτὴν ἐπὶ τῇ θεολογίᾳ τοῦ Πέτρου, καὶ ἐπὶ πᾶσιν οἱ τῆς τοιαύτης ὁμολογίας φύλακες ἔσονται. εἰ δὲ ὁ μακάριος Ἀγάθων τὴν ἑαυτοῦ ἐκκλησίαν οὐδέποτε λέγει ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας παρασυρῆναι, θαυμαστὸν οὐδέν. ἀξιώσομεν δὲ τὸν ταῦτα λέγοντα, μὴ τὰ πράγματα ἕλκειν ἐπὶ τοὺς λόγους, ἀλλὰ μᾶλλον τοὺς λόγους ἐφαρμόζειν τοῖς πράγμασιν. ἐνθυμεῖσθαι δὲ δεῖ καὶ τρόπους οἰκονομίας, οἷς οἱ ἅγιοι χρῶνται, ὅταν περί τινος τῶν ἀναγκαίων ἡ ζήτησις ᾖ· καὶ τὸ σπανίως δὲ τὴν ἐκκλησίαν ταύτην τῆς ἀληθείας ἐκπίπτειν, ὅσακις εἰς πίστιν φέρει. ἢ πῶς ἑρμηνεύσεις τὸ,

Ψάλ. ιγ. " Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν ἀγαθὸν, οὐκ ἔστιν ἕως ἑνός; ἄλλως τε εἰπὼν ὅτι οὐκ ἐκάμφθη ἡ ἐκκλησία τῆς Ῥωμαίων ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας, τὸ παρῳχηκὸς εἴρηκε, τὸ μέλλον δὲ οὐκ ἀπέκλεισε. τὸ δὲ μέγιστον, περὶ τῆς ἕκτης ταῦτα συνόδου τῷ μακαρίῳ ἐκείνῳ εἴρηται. θαυμάζειν δὲ οὐ χρὴ, εἰ σύνοδος πολλῶν ἁγίων συνῆκε, ὅπερ τὸν ἕνα ἀγνοῆσαι συμβαίνει. καὶ ὅτι ταῦτα ἀληθῆ, ἀνάγνωθι τὴν ἐπιστολὴν Λέοντος πάπα διαδεξαμένου τὸν Ἀγάθωνα προσεχῶς, καὶ τὴν ἕκτην ἀσπαζομένου σύνοδον.

Ἀπὸ τοῦ τέλους τῶν πρακτικῶν τῆς ἕκτης συνόδου, ἀπὸ τῆς ἐπιστολῆς Λέοντος πάπα πρὸς τοὺς βασιλέας Ῥωμαίων.

Σύνοδ. ϛ. " Ὡσαύτως ἀναθεματίζομεν τοὺς ἐφευρετὰς τῆς νέας πλάνης, τοῦτ᾽ ἔστι Θεόδωρον τὸν " τῆς Φαρρὰν ἐπίσκοπον, Κῦρον τε Ἀλεξανδρείας, Σέργιον, Πύῤῥον, Παῦλον, Πέτρον τῆς ἐκ- " κλησίας Κωνσταντινουπόλεως, ὑποκαθιστὰς μᾶλλον ἤπερ καθηγητάς· οὐ μὴν ἀλλὰ καὶ Ὀνώ- " ριον, ὅστις ταύτην τὴν ἀποστολικὴν ἐκκλησίαν οὐκ ἐνεχείρησε διδασκαλίᾳ ἀποστολικῆς πα- " ραδόσεως ἡγνίσθαι, ἀλλὰ τῇ βεβήλῳ προδοσίᾳ τὴν ἄσπιλον παρεχώρησεν. Τὸ δὲ λέγειν τοῦτον τὸν λόγον ἔχειν τὸν πάπαν πρὸς τὸν Κωνσταντινουπόλεως, ὃν αὐτὸς πρὸς τὸν Καισαρείας εἰ τύχοι, ἢ πρός τινα τῶν ὑπ᾽ αὐτὸν ἱερέων, πῶς οὐ κομιδῇ παίδειον; ὁ μὲν γὰρ Ῥώμης πρῶτος πρὸς τὸν Κωνσταντινουπόλεως λέγεται, ὡς αὐτοῦ γε δευτέραν τάξιν ἐπέχοντος· οὐκέτι δὲ ὁ Κωνσταντινουπόλεως, πρῶτος οὕτω πρὸς τὸν Καισαρείας ὡς ἐκείνου γε τὰ δευτερεῖα σώζοντος. ἀλλ᾽ ὁ μὲν τῆς Κωνσταντίνου, οὕτω πρῶτος τῶν ὑπ᾽ αὐτὸν, ὡς μονὰς, καὶ ὡς μὴ τοῖς ἄλλοις συντεταγμένος· ὁ δὲ Καισαρείας, οὐ δεύτερος ὀνομάζεται, ἀλλὰ καὶ αὐτὸς πρῶτος, πλὴν ὡς τοῖς ἄλλοις συντεταγμένος, καὶ δεύτερον ἔχων μεθ᾽ ἑαυτὸν καὶ τρίτον. ὅτι δὲ τοῦ πάπα πρωτεῖον συντεταγμένον ἐστὶ καὶ οὐκ ἄφετον, δῆλον. ἀνάγνωθι καὶ κανόνα τριακοστὸν ἕκτον τῆς ἕκτης συνόδου, ὅς φησιν·

Σύνοδ. ϛ. " Ἀνανεούμενοι τὰ παρὰ τῶν ἑκατὸν πεντή- " κοντα ἁγίων πατέρων ἐν τῇ θεοφυλάκτῳ ταύτῃ βασιλίδι συνελθόντων, καὶ τῶν ἑξακοσίων " τριάκοντα τῶν ἐν Χαλκηδόνι συναθροισθέντων νομοθετηθέντα, ὁρίζομεν, ὥστε τὸν Κωνσταν-

τίνου πόλεως θρόνον, τῶν ἴσων ἀπολαύειν πρεσβείων τοῦ πρεσβυτέρας Ῥώμης θρόνου, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκεῖνον μεγαλύνεσθαι πράγμασι, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα, μεθ' οὗ ὁ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἀριθμείσθω θρόνος, εἶτα ὁ τῆς Ἀντιοχέων, καὶ μετὰ τοῦτον ὁ τῆς Ἱεροσολυμιτῶν πόλεως. Εἰ δὲ ὅτι πρῶτος ἐν τῇ ἀριθμήσει, διὰ τοῦτο καὶ τὴν δεσποτείαν ἁρπάζεις, δὸς τοῦτο καὶ τῷ Κωνσταντινουπόλεως. καὶ γὰρ καὶ οὗτος προτάττεται τοῦ τῶν Ἀλεξανδρέων. ὁ δὲ τῆς Ἀλεξανδρείας ὑπ' αὐτὸν ὁμοίως ἐχέτω τὸν τῆς Ἀντιοχείας. καὶ οὗτος δὲ ὁρισθεὶς ἔσω τοῦ θρόνου τῶν Ἱεροσολύμων. καὶ πῶς οὐ ταῦτα θόρυβος ἀτεχνῶς; οὐ μὴν ἀλλ', εἰ μὲν ὁ Κωνσταντίνου πόλεως τὸν Καισαρείας χειροτονεῖ, καὶ τοὺς μετ' αὐτὸν, ὁ δὲ Ῥώμης οὔτε τὸν Κωνσταντινουπόλεως, οὔτε ἄλλον οὐδένα τῶν καθολικῶν ἱερέων, πῶς ἐστιν ἀληθεύειν λέγοντα, οὕτως ἐστὶ πρῶτος ὁ Ῥώμης πρὸς τὸν Κωνσταντινουπόλεως, ὥσπερ οὗτος αὐτὸς πρὸς τοὺς ὑπ' αὐτὸν ἱεράρχας; ἀνάγνωθι κανόνα ἕκτον τῆς ἁγίας καὶ οἰκουμενικῆς πρώτης συνόδου, ἵν' εἰδῇς, ὡς μέρους μὲν ὁ Ἀλεξανδρείας, μέρους δὲ τῆς οἰκουμένης ἄρχειν ὁ Ῥώμης ἐκρίθη, μέρους δὲ ὁ Ἀντιοχείας, καὶ ὡς οὐκ ἔξεστιν ἑτέρῳ τοῖς ἀλλοτρίοις ἐπιπηδᾶν· ὅς φησι. Τὰ ἀρχαῖα ἔθη κρατείτω, τὰ ἐν Αἰγύπτῳ καὶ Λιβύῃ καὶ Πενταπόλει· ὥστε τὸν Ἀλεξανδρείας ἐπίσκοπον πάντων τούτων ἔχειν τὴν ἐξουσίαν. ἐπεὶ καὶ τῷ ἐν τῇ Ῥώμῃ ἐπισκόπῳ τοῦτο σύνηθές ἐστιν. ὁμοίως δὲ καὶ κατὰ τὴν Ἀντιόχειαν, καὶ ἐν ταῖς ἄλλαις ἐπαρχίαις, τὰ πρεσβεῖα σώζεσθαι ταῖς ἐκκλησίαις. Συνόδ. α. Ἀκούεις ὅπως τοὺς ἀρχαίους τῶν πατέρων θεσμοὺς ὁ κανὼν στέργειν οἴεται δεῖν, οἳ τῶν ἐκκλησιῶν ἑκάστῃ τὰ πρεσβεῖα ἐνείμαντο; ὡς τὰ μὲν τῶν ἐθνῶν ὑποκεῖσθαι τῷ Ἀλεξανδρείας, τὰ δὲ τῷ Ἀντιοχείας, ὅσα δηλαδὴ τὴν Συρίαν καὶ Κιλικίαν ἑκατέραν νέμονται, καὶ Κοίλην Συρίαν, καὶ τὴν Μέσην τῶν ποταμῶν· καὶ ὅτι τῷ Ῥώμης ἐπισκόπῳ τοῦτο δέδοται, δηλαδὴ τῶν ἑσπερίων κρατεῖν; ὁ δὲ τῆς Αἰλίας ἐπίσκοπος, ὡς ὁ ἕβδομος τῆς αὐτῆς συνόδου θεσπίζει, τῶν ἐν Παλαιστίνῃ καὶ Φοινίκῃ καὶ Ἀραβίᾳ κατάρχει πόλεων. ὑπὸ δὲ τὸν θρόνον Κωνσταντινουπόλεως, ὡς ὁ εἰκοστὸς ὄγδοος τῆς τετάρτης συνόδου φησὶ, τάς τε Ἀσίας εἶναι διοικήσεις, καὶ ὅσαι τοῦ Πόντου, καὶ τῆς Θρᾴκης. εἰ μὲν οὖν ἕκαστος ἀρκεῖται τοῖς ἑαυτοῦ, τὴν γινομένην σώζει τάξιν. εἰ δέ τις κατέχων τὰ αὐτοῦ, καὶ τὰς ἑτέρων παροικίας ἀδίκοις ὀφθαλμοῖς ὁρᾷ, οὗτος οὐκ ἔστι μὴ καταλύειν τὰ ἀρχαῖα τῶν πατέρων ἤθη. ἀλλ' ὁ κανὼν οὐ τοῦτο βούλεται, ἀλλὰ, Τὰ ἀρχαῖα φησὶν ἤθη κρατείτω. οὐ μὴν ἀλλὰ, εἰ μὲν τὰ κλίματα τῆς γῆς ἑκάστῳ τῶν καθολικῶν ἐπισκόπων διανενεμημένα, ὡρισμένως οὐδὲν ὑπὸ τὸν τῆς Ῥώμης θρόνον κατέστη, ἀλλὰ μόνον αὐτὸν τὴν ἀρχὴν εἰληφέναι ἔλεγεν ὁ κανὼν, εἰκὸς ἦν δήπου λογίζεσθαι πᾶσαν τὴν οἰκουμένην ὑπ' αὐτὸν εἶναι, καὶ τοὺς καθολικοὺς ἐπισκόπους τἀκείνου διοικεῖν, ὥσπερ τὰ τοῦ Κωνσταντινουπόλεως, οἱ ὑπ' αὐτὸν ἱεράρχαι. εἰ δ' ἐκεῖνο μὲν ἀπεκληρώθη τῷ Ῥώμης, ἐκεῖνο δὲ τῷ Ἀλεξανδρείας, τοῦτο δὲ τῷ τῆς Κωνσταντίνου, οὐ μᾶλλόν γε ὁ Ῥώμης ὑπ' ἐκείνους, ἢ ἐκεῖνοι ὑπὸ τὸν Ῥώμης, ὅσα γε εἰς τοῦτο τελέσουσιν.

Εἰ δὲ, ὅτι τὴν αἵρεσιν τῶν ἐκκλησιαστικῶν ἔχει, διὰ τοῦτο καὶ δεσπότην αὐτὸν ἀξιοῖς πάντων καὶ τοῦ Κωνσταντινουπόλεως ἔχοντος, ἔστωσαν ὑπ' ἐκεῖνον ὁμοίως οἱ λοιποὶ θρόνοι. ἀλλ' οὔτε ὁ τῆς Κωνσταντίνου ὁρισθεὶς, ἐκείνων διὰ τοῦτο κατέστη, οὔτε ὁ πάπας διὰ ταῦτα δίκαιος ἂν εἴη, ταῖς παροικίαις τῶν ἄλλων πατριαρχῶν ἐνοχλεῖν. ἀνάγνωθι κανόνα ἔνατον τῆς οἰκουμενικῆς τετάρτης συνόδου, ἵν' εἰδῇς τὴν ἔκκλητον προσοῦσαν καὶ τῷ θρόνῳ τῆς Κωνσταντίνου πόλεως. φησὶ γάρ. Εἴ τις κληρικὸς πρὸς κληρικὸν, πρᾶγμα ἔχει, μὴ ἐγκαταλιμπανέτω τὸν οἰκεῖον ἐπίσκοπον, καὶ ἐπὶ κοσμικὰ δικαστήρια κατατρεχέτω· ἀλλὰ Συνόδ. δ.

πρότερον τὴν ὑπόθεσιν γυμναζέτω παρὰ τῷ ἰδίῳ ἐπισκόπῳ, ἢ γοῦν γνώμῃ ἐπισκόπου παρ' οἷς ἂν τὰ ἀμφότερα μέρη βούλωνται, τὰ τῆς δίκης συγκροτείσθω. εἰ δέ τις παρὰ ταῦτα ποιήσει, κανονικοῖς ἐπιτιμίοις ὑποκείσθω. εἰ δὲ κληρικὸς πρᾶγμα ἔχει πρὸς τὸν ἴδιον, ἢ πρὸς ἕτερον ἐπίσκοπον, παρὰ τῇ συνόδῳ τῆς ἐπαρχίας δικαζέσθω. εἰ δὲ πρὸς τὸν τῆς αὐτῆς ἐπαρχίας μητροπολίτην ἐπίσκοπος ἢ κληρικὸς ἀμφισβητεῖ, καταλαβέτω τὸν ἔξαρχον τῆς διοικήσεως, ἢ τὸν τῆς βασιλευούσης Κωνσταντίνου πόλεως θρόνον, καὶ ἐπ' αὐτῷ δικαζέσθω. Τὰ αὐτὰ καὶ ὁ ἑπτακαιδέκατος τῆς αὐτῆς συνόδου φησίν. ὁ δὲ εἰκοστὸς ὄγδοος τῆς αὐτῆς συνόδου, καὶ ὁ τριακοστὸς ἕκτος τῆς ἕκτης, τῶν αὐτῶν ἀξιοῦντες πρεσβείων ἀμφοτέρους τοὺς θρόνους, σαφῶς καὶ τὴν ἔφεσιν τῷ θρόνῳ τῆς Κωνσταντίνου διδόασιν.

Ὅτι δὲ, πάντας ἀνακρίνων αὐτὸς, ὑπ' οὐδενὸς ἀνακρίνεται, τοῦτο καὶ ψεῦδος, καὶ τοῖς τῶν ἀποστόλων ἔθεσιν οὐ συμβαίνει. εἰ γὰρ Παῦλος κοινοῦται τοῖς ἄλλοις τὸ εὐαγγέλιον, μήπως εἰς κενὸν τρέχει ἢ ἔδραμε, καὶ πάλιν Πέτρος ἐπιτιμώμενος ἀνέχεται Παύλου, πῶς ἐστὶ καθάπερ τύραννος ἀνεύθυνον ἕξει τὸν βίον, καὶ ταῦτα Πέτρου διάδοχος εἶναι φιλοτιμούμενος; ὅτι δὲ καὶ ψεῦδος τὸ τοιοῦτον, σαφές. περὶ μὲν τῶν δογμάτων, Ὁνώριος τοῖς παρ' ἡμῶν μαρτυρεῖ. ὃς κριθεὶς παρὰ τῆς ἕκτης συνόδου, τῷ ἀναθέματι παρεδόθη, οὐδὲ τοῦ θανάτου παραιτησαμένου τὸν ἄνθρωπον. περὶ δὲ τῆς ἄλλης πολιτείας, καὶ πᾶσι μὲν νόμοις οἷς ἕκαστος τῶν ἐπισκόπων ὑπόκειται, ἐνέχεται καὶ αὐτὸς, εἰς ἐπισκόπους τελῶν. πολλοὶ δὲ οἱ τοιοῦτοι τῶν νόμων, οἱ μὲν παρὰ ἀποστόλων, οἱ δὲ παρὰ τῶν οἰκουμενικῶν ἐκτεθειμένοι συνόδων. καὶ ἰδίᾳ φαίνεται παρὰ τῶν μακαρίων πατέρων ἐπιτιμώμενος. ἀνάγνωθι κανόνα τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου τρισκαιδέκατον, ὅς φησιν. Ἐπειδὴ ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ ἐν τάξει κανόνος παραδεδόσθαι διέγνωμεν, τοὺς μέλλοντας διακόνου ἢ πρεσβυτέρου ἀξιοῦσθαι χειροτονίας, καθομολογεῖν, ὡς οὐκ ἔτι ταῖς αὐτῶν συνάπτονται γαμεταῖς· ἡμεῖς τῷ ἀρχαίῳ ἐξακολουθοῦντες κανόνι τῆς ἀποστολικῆς ἀκριβείας καὶ τάξεως, τὰ τῶν ἱερῶν ἀνδρῶν κατὰ νόμους συνοικέσια καὶ ἀπὸ τοῦ νῦν ἐρρῶσθαι βουλόμεθα, μηδαμῶς αὐτῶν τὴν πρὸς τὰς γαμετὰς συνάφειαν διαλύοντες. εἶτα τὸν λόγον ἐπεξεργαζόμενος ὁ κανὼν ἐπάγει. Εἴ τις οὖν ὁρμήσει παρὰ τοὺς ἀποστολικοὺς κανόνας κινούμενος, τινὰς τῶν ἱερωμένων, πρεσβυτέρων φαμὲν, ἢ διακόνων, ἢ ὑποδιακόνων, ἀποστερεῖν τὴν πρὸς τὴν γυναῖκα συνάφειαν καὶ κοινωνίαν, καθαιρείσθω. καὶ πάλιν ὁ αὐτῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου κανὼν πεντηκοστὸς πέμπτος φησίν. Ἐπειδὴ μεμαθήκαμεν, ἐν τῇ Ῥωμαίων πόλει, ἐν τῇ ἁγίᾳ τεσσαρακοστῇ νηστείᾳ, τοῖς ταύτης σάββασι νηστεύειν, παρὰ τὴν παραδοθεῖσαν ἐκκλησιαστικὴν ἀκολουθίαν· ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ὥστε κρατεῖν καὶ ἐπὶ τῇ Ῥωμαίων ἐκκλησίᾳ ἀπαρασαλεύτως τὸν κανόνα τὸν λέγοντα, Εἴ τις κληρικὸς εὑρεθείη τῇ ἁγίᾳ κυριακῇ νηστεύων, ἢ τὸ σάββατον, πλὴν ἑνὸς μόνου, καθαιρείσθω· εἰ δὲ λαϊκὸς, ἀφοριζέσθω. Ὅτι μὲν οὖν ὥσπερ κἂν τοῖς δόγμασιν, οὕτω κἂν τοῖς ἄλλοις ἐπιτηδεύμασι μετὰ τῶν κρινομένων καὶ ὁ τῆς Ῥώμης ἐπίσκοπος ἕστηκεν, εἴ τι παρὰ τὰ διατεταγμένα εὑρεθείη τολμῶν, ἐκ τῶν εἰρημένων δῆλον.

Γαλάτ. β.

Συνόδ. ς. περὶ ἱερωμένων.

Ἡ αὐτὴ περὶ νηστείας σαββάτου.

Ὅτι δὲ καὶ μείζονος τάξεως ἢ κατ' ἐπίσκοπον οὐκ ἔστι τὸ κατ' αὐτὸν, δῆλον μὲν, ἐξ ὧν εἴρηται. πῶς γὰρ εἰ μείζονος τάξεως ἦν, παρὰ τῶν ἐλάττονα ἐχόντων εὐθύνετο ἄν; δῆλον δὲ καὶ ὡς ἐπίσκοπον Ῥώμης αὐτὸν οἱ πατέρες καλοῦσι, καὶ οἷς αὐτῷ ἐπιστέλλουσιν. οὐ μὴν ἀλλὰ καὶ παρ' ἐπισκόπων χειροτονεῖται· οὐκ ἄν, εἴγε κρείττων ἢ κατ' ἐπίσκοπον ἦν. ἔτι γὰρ ἄν τις ἑτέρῳ μεταδοίη, ὅπερ οὐδὲ τὴν ἀρχὴν ἔχει· καὶ ἅμα τὸ ταῦτα λέγειν, λύειν τῆς

τάξιν ἐστίν· ὁ δὲ μακάριος Διονύσιος ἐπὶ τῶν ἀποστόλων γεγονώς, μᾶλλον δὲ, τῶν μὲν ἀκροατής, τῶν δὲ ἡγεμὼν καὶ διδάσκαλος καταστάς, εἰς λειτουργοὺς καὶ ἱερέας καὶ ἐπισκόπους τὴν ἐκκλησιαστικὴν ἱεραρχίαν διαιρῶν φαίνεται, καὶ μείζονα τῆς τοῦ ἐπισκόπου ἀξίας οὐκ ἔστιν ἐκ τῶν ἐκείνου λόγων ὑπονοεῖν· ἀλλ' οὐδ' ἂν ἢ οὖσαν ἠγνόησεν, ἢ εἰδὼς παρέλιπεν ἂν, περὶ πάσης ἐκκλησιαστικῆς ἱεραρχίας ποιεῖσθαι τὸν λόγον ἐπαγγειλάμενος. Ἀλλ' ἔστω ταῦτα φασί· πῶς δὲ κανόνων ἕκτης συνόδου μεμνῆσθαι δίκαιον, τῆς ἕκτης (ἣ περὶ τῶν δύο θελημάτων τοῦ σωτῆρος διέλαβε) μηδαμῶς κανόνων φροντίδα ποιησαμένης; πρῶτον μὲν, ὦ βέλτιστε, καὶ μὴ ταύτης τῆς συνόδου τὸ βέβαιον ἐχούσης, τὸ προκείμενον δείκνυται· εἰ γὰρ οὐκ ἔστιν ἀξία τῆς τοῦ ἐπισκόπου μείζων, ἀλλ' οὐδὲ ἐπίσκοπος ἐπισκόπου, κατά γε τὸ ἐπίσκοπος εἶναι· πάντας γὰρ ὁμοταγεῖς καὶ ἰσοτίμους καλεῖ ὁ μακάριος Διονύσιος· δῆλον, ὡς ἐπίσκοπος καὶ ὁ πάπας, καὶ τοῖς ἄλλοις ὁμοταγής, καὶ πᾶσιν νόμοις ὑπόκειται, οἷς καὶ τὸ τῶν ἐπισκόπων γένος· πολλοὶ δὲ οἱ τῶν ἐπισκόπων νόμοι, καὶ οὕτω περὶ τούτων ταῖς οἰκουμενικαῖς ἐμέλησε τῶν συνόδων, αἷς οὐδὲ ἀντιλέγειν ἐστίν, ὡς μηδὲ ῥαδίως αὐτοὺς ἀριθμεῖσθαι δύνασθαι· ὅτι δὲ καὶ οἱ κανόνες, οὓς ἀνωτέρω ἀνέγνωμεν, τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου καὶ λέγονται καὶ εἰσὶν, καὶ τὸ βέβαιον μεθ' ἑαυτῶν ἔχουσιν, οὐδεὶς ἀγνοεῖ, ᾧ καὶ βραχύ τι τῶν ἐκκλησιαστικῶν ἐμέλησε· τῆς γὰρ πέμπτης καὶ ἕκτης, κανόνων μηδένα λόγον ποιησαμένων, ἡ σύνοδος ἡ ταῦτα λέγουσα παρὰ πόδας τῆς ἕκτης συγκροτηθεῖσα, οἰκουμενικὴ δὲ καὶ αὐτὴ, τὸ ὑστέρημα ἐκείνων ἀναπληροῖ· καὶ ὥσπερ ἐκεῖ ποιησάμεναι τὸν λόγον περὶ δογμάτων, περὶ κανόνων εἶπον οὐδ' ὁπουοῦν· οὕτως αὐτὴ περὶ δογμάτων λόγος βραχὺς, τὸν δὲ πάντα λόγον περὶ κανόνων ποιεῖται· ὅτι δὲ καὶ οἰκουμενική, δῆλον μὲν ἐκ τῆς ἱστορίας Βασιλείου, ἐχούσης Γορτυνῆς τῆς κατὰ Κρήτην ἐπίσκοπον, πάσης ἐν τῇ συνόδῳ τῆς κατὰ Ῥώμην ἐκκλησίας τὸν τόπον ἐπέχοντα· δῆλον δὲ καὶ ἐξ ὧν αὐτὴ περὶ ἑαυτῆς συνεχῶς φθέγγεται, οἰκουμενικὴν ἑαυτὴν ὀνομάζουσα· οὐκ ἂν δὲ ἠνέσχοντο χορὸς πατέρων τοσοῦτος, ἐπιφανοῦς οὕτω ψεύδους ἁλῶναι· οὐ μὴν ἀλλὰ καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ ἑβδόμη σύνοδος ἐν τῷ πρώτῳ αὐτῆς κανόνι, τοιάδε φησίν. « Ἀσπασίως τοὺς θείους κανόνας ἐνστερνιζόμεθα, καὶ ὁλόκληρον τὴν αὐτῶν διαταγὴν καὶ ἀσάλευτον κρατύνομεν, τῶν ἐκτεθέντων ὑπὸ τῶν σαλπίγγων τοῦ πνεύματος, καὶ τῶν τοπικῶς συναθροισθεισῶν ἐπὶ ἐκδόσει τοιούτων δογμάτων, καὶ τῶν ἁγίων πατέρων ἡμῶν. Ἐξ ἑνὸς γὰρ ἅπαντες καὶ τοῦ αὐτοῦ πνεύματος αὐγασθέντες, ὥρισαν τὰ συμφέροντα. καὶ οὓς μὲν ἀναθέματι παραπέμπουσι, καὶ ἡμεῖς ἀναθεματίζομεν· οὓς δὲ τῷ ἀφορισμῷ, καὶ ὑμεῖς ἀφορίζομεν· οὓς δὲ τῇ καθαιρέσει, καὶ ἡμεῖς καθαιροῦμεν· οὓς δὲ ἐπιτιμίῳ παραδιδόασι, καὶ ἡμεῖς ὡσαύτως ὑποβάλλομεν. Ἀφιλάργυρος γὰρ ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν, ὁ βεβηκὼς εἰς τρίτον οὐρανὸν καὶ ἀκούσας ἄρρητα ῥήματα, Παῦλος ὁ θεῖος ἀπόστολος διαρρήδην βοᾷ. » Εἰ δὲ καὶ κανόνων μέμνηται ἡ ἁγία σύνοδος αὕτη τῶν πανευφήμων ἀποστόλων, τῶν τε ἐξ ἁγίων καὶ οἰκουμενικῶν συνόδων, τῇ δὲ κυρίως ἕκτῃ περὶ κανόνων ἐμέλησεν οὐδαμῶς· πῶς οὐ πρόδηλον, ὡς περὶ τῶν κανόνων τῆς συνόδου ταύτης φησίν, ἣ τὸ τῆς ἕκτης ἐνδεὲς ἀναπληρώσασα φαίνεται; τὸ δὲ καὶ ἀναθέματι παραδεδόσθαι τοὺς τὰ κανονικὰ ἐν οὐδενὶ λόγῳ ποιουμένους θεσπίσματα, πῶς οὐ σφόδρα φοβερὸν, καὶ ψυχῆς λιθίνης καθικέσθαι δυνάμενον; οὕτω δὲ τοὺς κανόνας τούτους κυρίους ἡγεῖτο καὶ ὁ τῆς Ῥώμης ἐπίσκοπος, ἕως ἂν ἐν εἰρήνῃ τὰ ἐκκλησιαστικὰ διετέλουν ὄντα, ὡς καὶ τὸν πάπαν Ἀδριανὸν Ταρασίῳ γράφοντα, ἐν θαύματος ἄγειν

Συνόδ. ζ.

τὰ κατ' αὐτὸν, ἐμμένοντα τοῖς ὑπὸ τῆς ἁγίας ταύτης συνόδου κανονικῶς ὁρισθεῖσιν. ἀνάγνωθι ἀπὸ τῶν πρακτικῶν τῆς ἑβδόμης συνόδου, ἀπὸ τῆς ἐπιστολῆς τοῦ πάπα Ἀδριανοῦ πρὸς Ταράσιον Κωνσταντινουπόλεως, ταῦτα· (Ἀδριανοῦ ἐπιστολ.) « Εὕρομεν δὲ ἐν τῇ προειρημένῃ ἐπιστολῇ τῆς « συνοδικῆς τῆς ὑμετέρας ἁγιωσύνης, μετὰ τὸ πλήρωμα τῆς πίστεως τῆς ὁμολογίας τοῦ ἱεροῦ « συμβόλου, καὶ πασῶν τῶν ἁγίων ἓξ συνόδων, καὶ περὶ τῶν ἱερῶν καὶ σεπτῶν χαρακτήρων « θαῦμα αἰνέσεως καὶ περιπλήξεως ἄξιον. περιέχον, ὅτι καὶ τὰ ὑπὸ τῆς αὐτῆς ἁγίας ἕκτης « συνόδου δέχομαι μετὰ πάντων τῶν ἐνθέσμως καὶ θειωδῶς ἐκφωνηθέντων παρ' αὐτῆς κανό- « νων, ἐν οἷς ἐμφέρεται ἔν τισι, τῶν σεπτῶν εἰκόνων γραφαῖς, ἀμνὸς δακτύλῳ τοῦ προδρό- « μου δεικνύμενος ἐγχαράττεσθαι. ὃς εἰς τύπον παρελήφθη τῆς χάριτος, τὸν ἀληθινὸν ἡμῖν « διὰ νόμου προϋποφαίνων ἀμνὸν, Χριστὸν τὸν Θεὸν ἡμῶν. τοὺς οὖν παλαιοὺς τύπους καὶ τὰς « σκιὰς, ὡς τῆς ἀληθείας σύμβολά τε καὶ προχαράγματα τῇ ἐκκλησίᾳ παραδεδομένα κα- « τασπαζόμενοι, τὴν χάριν προτιμῶμεν καὶ τὴν ἀλήθειαν, ὡς πλήρωμα νόμου ταύτην ὑπο- « δεξάμενοι, ὡς ἂν τὸ τέλειον κἂν ταῖς χρωματουργίαις ἐν ταῖς ἁπάντων ὄψεσιν ὑπο- « γράφηται, τὸν τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, κατὰ τὸν ἀνθρώ- « πινον χαρακτῆρα. καὶ ἐν ταῖς εἰκόσιν ἀπὸ τοῦ νῦν ἀντὶ τοῦ παλαιοῦ ἀμνοῦ ἀναστηλοῦσθαι ὁρι- « ζόμεθα, δι' αὐτοῦ τὸ τῆς ταπεινώσεως ὕψος τοῦ Θεοῦ λόγου κατανοοῦντες, καὶ πρὸς μνήμην « τῆς ἐν σαρκὶ πολιτείας, τοῦ τε πάθους αὐτοῦ, καὶ τοῦ σωτηρίου θανάτου χειραγωγούμενοι, καὶ « τῆς ἐντεῦθεν γενομένης τοῦ κόσμου ἀπολυτρώσεως." Ὅτι μὲν οὖν ὁ κανὼν οὗτος καὶ παρὰ τοῦ μακαρίου Ἀδριανοῦ τὸ κύριον ἔχει, καὶ ὅτι τῆς συνόδου ταύτης περὶ ἧς ὁ λόγος νῦν ὀγδοηκοστὸς δεύτερος ἀριθμούμενος ἐστὶ, τὰ βιβλία μαρτυρήσει τῷ λόγῳ. πάνυ δὲ ἄτοπον, μὴ μόνον πρὸς τὰς οἰκουμενικὰς τῶν συνόδων Λατίνους ἀπεχθῶς ἔχειν, ὧν ἡγεμόνες αὐτοὶ κατέστησαν, καὶ ὧν τὸ σεπτὸν καὶ μέχρις οὐρανοῦ προῆλθεν, ἀλλὰ καὶ πρὸς ἑαυτοὺς στασιάζειν· καὶ νῦν μὲν τὸν πάπαν Ἀδριανὸν τοὺς κανόνας τούτους θαῦμα αἰνέσεως, καὶ περιπλήξεως ἀξίους καλεῖν, νῦν δὲ τὸν Ἰνοκέντιον, ἢ ἕτερον εἰ τύχοι, τοὺς αὐτοὺς ἀποδοκιμάζειν συμφωνεῖν. εἰ δέ τις οὐχ' ὑπάγεσθαι τὸν πάπαν τοῖς τῶν πατέρων κειμένοις νόμοις ἐρεῖ, οὐκ ἀνεκτὰ πάντως ἐρεῖ. διὰ τί; ὅτι παρὰ τῶν πατέρων αὐτὸς τὸ πρεσβεῖον εἴληφε. καὶ ἥκιστα φορητὸν, δι' ὧν ἐκεῖνος ἤρθη τε καὶ μέγας εἶναι δοκεῖ, τούτοις ἐν οὐδενὶ πείθεσθαι. ἄλλως τε τὸν οὕτως διακείμενον, καὶ ἑαυτὸν δεῖν ἀθετεῖν, εἴπερ αὐτὸς δεῖν, ὁ τοὺς νόμους θείς. (Γαλάτ. β.) « ὁ δὲ μακάριος Παῦλος, παραβάτην ἑαυτὸν φησὶν, εἴ γε ἃ κατέλυσε, ταῦτα πάλιν οἰκοδομεῖν προθυμεῖται. εἰ δὲ δέδεικται, τὸν πάπαν ὥσπερ ἐν τοῖς δόγμασιν, οὕτω δὲ κἀν τοῖς ἄλλοις παρὰ τῶν πατέρων εὐθύνεσθαι, πῶς οὐχ ὑπάγεται τοῖς πρὸς τῶν πατέρων κειμένοις νόμοις; ἢ πῶς δίκαιον τοὺς ἄλλους ὡς πατρὶ τούτῳ προσέχειν, πατέρας τοσούτους αὐτῷ διαγράφοντι; Τὸ δὲ λέγειν μὴ εἶναι τὸν πάπαν ἀφωρισμένως εἰς τόνδε τὸν τόπον, ἀλλ' ἁπλῶς ἐπίσκοπον, πῶς οὐ σφόδρα τοῖς φανεροῖς ἀντιλέγειν ἐστί; πρῶτον μὲν γὰρ δέδεικται ἀνωτέρω ὁμοταγῆ τοῦτον εἶναι τοῖς ἄλλοις τῶν ἐπισκόπων. ἔπειτα ἐν πάσαις ταῖς οἰκουμενικαῖς τῶν συνόδων, ὁσάκις ἐκείνου μνησθῆναι καιρὸς, (πολλάκις δὲ τὸ τοιοῦτο) Ῥώμης ἐπίσκοπον αὐτὸν ὀνομάζουσι. πῶς οὖν ὁ Ῥώμης ἐπίσκοπος, οὐκ ἔστιν ἐπίσκοπος ὡρισμένου τόπου τινός; εἰ μή τις τὴν Ῥώμην καὶ τὴν τοῦ τόπου περιγραφὴν διαφεύγειν βούλοιτο. εἰ δὲ ὅτι ἐν οἷς αὐτὸς ἐπιστέλλει, οὐ Ῥώμης ἐπίσκοπον ἑαυτὸν ὀνομάζει, ἀλλ' ἁπλῶς ἐπίσκοπον, καὶ διὰ ταῦτα οὐδὲ ὡρισμένου τόπου ἐπίσκοπον ἑαυτὸν ἀξιοῖ· οὐ λέληθεν ἡμᾶς λόγοις πολὺ τὸ ταπεινὸν ἔχουσι τὰ μεγάλα ἁρπάζων. μᾶλλον γὰρ πρὸς ἡμῶν

ὁ λόγος,

ὁ λόγος, εἴ γε ἀπὸ τοιούτων καθαιρεῖν αὐτοῦ τὸ ἀξίωμα ἐβουλήθημεν ἄν. τὸ γὰρ ἑαυτὸν
ἐπίσκοπον καλεῖν (τοῦτο δὲ κοινότατον ὄνομα) καὶ μὴ πάπαν, οἰκουμενικὸν, καὶ ἄκρον ἀρ-
χιερέα, καὶ τ' ἄλλα οἷς αὐτὸν χαίρουσι καλεῖν ἄνθρωποι, ἑαυτόν ἐστι ταπεινοῦντος. ἀλλὰ
οὐθ' ἡμεῖς διὰ ταῦτα δίκαια ἂν ποιοῦμεν, εἰ τούτοις αὐτὸν καθαιρεῖν ᾠήθημεν· ἐκεῖνός τε
ἀπὸ τοιούτων ἑαυτὸν ἐλπίζων ἐξαίρειν, οὐδὲν ἄλλο ποιεῖ, ἢ ἐκ ψάμμου σχοινίον πλέκειν
ἐπιχειρεῖ. οὐ μὴν ἀλλὰ, εἰ διὰ ταῦτα μέγας ὁ πάπας ἐστὶν, ἐχέτω τὰ ἴσα διὰ ταῦτα
καὶ Κύριλλος, καὶ πολλῷ πλέον ἐκείνου, ὅσῳ καὶ παρ' ἄλλων τὰ τοιαῦτα ἀκούει, ἀνάγνωθι
ταύτην τὴν μαρτυρίαν· Θεοδόσιος ἔνδοξος θριαμβευτὴς, ἀεὶ αὔγουστος, Κυρίλλῳ ἐπι- Θεοδόσ.
σκόπῳ. ὁρᾷς, ὅτι οὐ προσέθηκε καὶ τίνος ἐπίσκοπος; οὐ μὴν ἀλλὰ, εἰ καί τις ἐπίσκοπος
ὢν, ἐν οἷς γράφει, οὐδὲ τὸ τοῦ ἐπισκόπου προσέθησιν ὄνομα, ἀλλὰ μόνον, εἰ τύχοι, τοῦ ἰδίου
μεμνημένος ὀνόματος, τὰ ἄλλα ἐᾷ, μηδὲ ἐπίσκοπος λοιπὸν ἔστω ὁ τοιοῦτος· εἰ δ' ἂν μὲν
γράφει ἐπίσκοπος μόνον, φευγέτω τὴν περιγραφὴν, καὶ καθολικὸς τῆς οἰκουμένης ἐπίσκοπος
ἔστω· ἂν δὲ καὶ τοῦτο ἀφῇ, καὶ ὑπὲρ τὸν τοιοῦτον ἔστω. καὶ πῶς οὐ ταῦτα αἰνίγμασι παρα-
πλήσια; ὅτι δὲ εἶπε καὶ πολλὰ τοιαῦτα, δῆλον. Τῷ ὁσιωτάτῳ καὶ θεοφιλεστάτῳ πατρὶ Κε- Κύριλ.
λεστίνῳ, Κύριλλος ἐν κυρίῳ χαίρειν. καὶ πάλιν· Τῷ εὐλαβεστάτῳ καὶ θεοφιλεστάτῳ συλλει-
τουργῷ Νεστορίῳ, Κύριλλος ἐν κυρίῳ χαίρειν. καὶ πολλὰ ἂν εὕροις τοιαῦτα.

Ἀλλ' οὐδὲ, ὥς φασι, μόνος ὁ τῆς Ῥώμης θρόνος ἔχει, τὸ ἀποστολικὸς ὀνομάζεσθαι.
κοινὸν γὰρ αὐτὸ τοῦτο καὶ τοῖς ἄλλοις τῶν καθολικῶν ἀδελφῶν. δῆλον δὲ ἀπὸ τῆς ἑνδεκά-
της πράξεως τῶν πρακτικῶν τῆς ἕκτης Συνόδου· Κωνσταντῖνος ὁ θεοσεβέστατος ἀρχι- Κωνσταν.
διάκονος τῆς ἐνταῦθα ἁγιωτάτης τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας. πάλιν,
ἀπὸ τῶν αὐτῶν πρακτικῶν, ἐκ τῶν τοῦ ὅρου ὑπογραφῶν· Πέτρος πρεσβύτερος καὶ το- Πέτρος.
ποτηρητὴς τοῦ ἀποστολικοῦ θρόνου τῆς Ἀλεξανδρέων μητροπόλεως. Γεώργιος ἐλάχιστος πρεσ- Γεωργ.
βύτερος, ἐπέχων τὸν τόπον Θεοδώρου τοῦ θεοφυλάκτου πρεσβυτέρου καὶ τοποτηρητοῦ τοῦ
ἀποστολικοῦ θρόνου τῆς ἁγίας Χριστοῦ Θεοῦ ἡμῶν πόλεως Ἱεροσολύμων, ὑπέγραψα. καὶ πάλιν
ἀπὸ τῆς πρώτης πράξεως τῶν πρακτικῶν τῆς ἑβδόμης Συνόδου, ἧς ἡ ἀρχή. Ἐν ὀνόματι Συνοδ. ζ.
τοῦ κυρίου καὶ δεσπότου Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, βασιλείας τῶν εὐσεβεστάτων
καὶ φιλοχρίστων ἡμῶν δεσποτῶν. εἶτα μετὰ τὸ καταλέξαι τοὺς ἐκ τῆς Ῥώμης ἀποσταλέντας,
καὶ τὸν Κωνσταντινουπόλεως, ἐπάγει ῥητῶς οὕτως· Ἰωάννου καὶ Θωμᾶ τῶν εὐλαβεστάτων
πρεσβυτέρων, μοναχῶν, καὶ τοποτηρητῶν τῶν ἀποστολικῶν θρόνων τῆς ἀνατολικῆς διοική-
σεως. τοῦτο εὑρήσεις ἐν ταῖς ἀρχαῖς πασῶν τῶν πράξεων τῆς ἑβδόμης Συνόδου. καὶ πάλιν
ἐκ τῶν ὑπογραφῶν τοῦ ὅρου τῆς αὐτῆς Συνόδου· Ἰωάννης ἐλέῳ Θεοῦ πρεσβύτερος καὶ
πατριαρχικὸς σύνεδρος, τὸν τόπον ἐπέχων τῶν τριῶν ἀποστολικῶν θρόνων, Ἀλεξανδρείας, Ἰωάν.
Ἀντιοχείας, Ἱεροσολύμων, τοῖς τῶν πατέρων δόγμασιν ἐξακολουθῶν, καὶ τῇ παραδόσει
τῆς καθολικῆς ἐκκλησίας, ὁρίσας ὑπέγραψα. Θωμᾶς ἐλέῳ Θεοῦ πρεσβύτερος, καὶ ἡγούμε- Θωμᾶς.
νος τῆς μονῆς τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀρσενίου, τῆς διακειμένης ἐν Αἰγύπτῳ ἄνω Βα-
βυλῶνος, ἐπέχων τὸν τόπον τῶν τριῶν ἀποστολικῶν θρόνων, Ἀλεξανδρείας, Ἀντιοχείας,
καὶ Ἱεροσολύμων, τοῖς πατρικοῖς ἑπόμενος δόγμασι, καὶ τῇ παραδόσει τῆς καθολικῆς ἐκ-
κλησίας, ὁρίσας ὑπέγραψα. τοῦτο καὶ ἐν πάσαις αὐτῶν ταῖς ὑπογραφαῖς εὑρήσεις. ἤκουσας
πῶς ἕκαστος τῶν καθολικῶν θρόνων, θρόνος ἀποστολικὸς ὀνομάζεται; ὥστε εἴ τις ἐθέλει τὰ
δίκαια λογίζεσθαι, ἢ καὶ πάντας διὰ τοῦτο τῶν ἴσων ἀξιώσει τῷ Ῥώμης θρόνῳ, καὶ οὐκ
οἶδα κατὰ τίνων ἕξουσι τὸ πρεσβεῖον· ἢ μὴ διὰ τοῦτο ὁ τῆς Ῥώμης θρόνος τὸ ἐξαί-

ρετον

ρετον κατὰ τῶν ἄλλων ἐχέτω, ἕως ἂν τὸ κοινὸν ἴδιον γένηται χώραν οὐκ ἔχῃ. ὁ δὲ μακάριος Χρυσόστομος καὶ τῶν ἀρχιερέων ἕκαστον ἐν τῷ τοῦ Χριστοῦ θρόνῳ καθῆσθαι λέγει, ὥσπερ τοὺς νομικοὺς ἱερέας ἐπὶ τοῦ θρόνου Μωϋσέως καὶ μείζονα ἀξίαν περιεζῶσθαι τούτους διατείνεται τῆς τῶν ἀγγέλων, καὶ τῶν ἀρχαγγέλων, ἀλλαχοῦ πάλιν γράφων. ὥστε οὐ μέγα τῷ Ῥώμης θρόνῳ παρὰ τῶν ἀποστόλων καλεῖσθαι, ἑκάστου τῶν ἐπισκόπων ἐπὶ τοῦ θρόνου τοῦ Χριστοῦ καθημένου, καὶ μείζονα ἀξίαν ἢ κατὰ τὴν τῶν ἀγγέλων περιβεβλημένου.

Τὸ δὲ λέγειν, αὐτῷ μόνῳ ἔξεστιν οἰκουμενικὴν ἀθροίζειν σύνοδον, δηλαδὴ τῷ πάπᾳ, πῶς οὐ τοῖς λίαν φανεροῖς ἀντιλέγειν ἐστί; μᾶλλον δὲ πῶς οὐκ ἂν αἰσχύνη, ἀπὸ τούτων τὸν ἱερέα καὶ φιλοτιμεῖσθαι, ἀφ' ὧν ἐστι μέγα καὶ τὸν βασιλέα φρονεῖν; καὶ οὐ δήπου μικροψυχίαν τῶν βασιλέων κατεγνωκὼς ταῦτα λέγω (καλὰ μὲν γὰρ καὶ τἀκείνων) ἀλλὰ τὸ τῆς ἐκκλησίας ἀγαθὸν τὰ φαινόμενα κάλλη διαπτύον, πρὸς τὰ ἐν τοῖς οὐρανοῖς ἁμιλλᾶται. ἵνα δὲ εἰδῇς ὅτι βασιλεῦσι μᾶλλον, οὐκ ἐπισκόποις τὰ τοιαῦτα ἀνεῖται, ἀνάγνωθι ταῦτα.

Ἀπὸ τῶν πρακτικῶν τῆς ἁγίας καὶ οἰκουμενικῆς
πρώτης Συνόδου.

Ἡ ἁγία καὶ μεγάλη σύνοδος, τῇ ἁγίᾳ καὶ μεγάλῃ Θεοῦ χάριτι Ἀλεξανδρέων ἐκκλησίᾳ, καὶ τοῖς κατὰ τὴν Αἴγυπτον καὶ Πεντάπολιν καὶ Λιβύην, καὶ τοῖς κατὰ τὴν ὑπ' οὐρανὸν ἀγαπητοῖς ἀδελφοῖς, κλήροις τε καὶ λαοῖς ὀρθοδόξοις, οἱ ἐν Νικαίᾳ συναχθέντες, καὶ τὴν ἁγίαν μεγάλην σύνοδον συγκροτήσαντες ἐπίσκοποι, ἐν κυρίῳ χαίρειν. Ἐπειδὴ τῆς τοῦ Θεοῦ χάριτος, καὶ τοῦ θεοφυλάκτου βασιλέως Κωνσταντίνου συναγαγόντος ἡμᾶς ἐκ διαφόρων ἐπαρχιῶν καὶ πόλεων. καὶ τὰ ἑξῆς.

Ἀπὸ τῆς οἰκουμενικῆς τρίτης συνόδου τῶν πρακτικῶν.

Τοῖς εὐσεβεστάτοις καὶ θεοσεβεστάτοις, Θεοδοσίῳ καὶ Οὐαλεντινιανῷ, νικηταῖς, τροπαιούχοις, ἀεὶ αὐγούστοις, ἡ ἁγία σύνοδος, ἡ χάριτι Θεοῦ, καὶ νεύματι τοῦ ὑμετέρου κράτους συναχθεῖσα ἐν τῇ Ἐφεσίων μητροπόλει.

Ἀπὸ τοῦ τέλους τῶν πρακτικῶν τῆς ἁγίας καὶ οἰκουμενικῆς
τετάρτης συνόδου.

Ἡ ἐπιγραφὴ τῆς ἐπιστολῆς τῆς ἁγίας συνόδου. Ἡ ἁγία καὶ μεγάλη καὶ οἰκουμενικὴ σύνοδος, ἡ κατὰ Θεοῦ χάριν καὶ θέσπισμα τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων συναχθεῖσα ἐν τῇ Χαλκηδονίων μητροπόλει, τῆς Βιθυνῶν ἐπαρχίας, τῷ ἁγιωτάτῳ καὶ μακαριωτάτῳ τῆς Ῥωμαίων ἀρχιεπισκόπῳ Λέοντι.

Ὅτι μὲν οὖν τὸ συνάγειν οἰκουμενικὴν σύνοδον, τῶν βασιλέων ἐστίν, ἐκ τῶν ἀναγινωσκομένων δῆλον. ὁ δὲ μακάριος Λέων ὁ τῆς Ῥώμης ἐπίσκοπος Θεοδοσίῳ τῷ βασιλεῖ γράφων, αὐτὸ μεγάλου τινὸς αἰτεῖται, καταπεῖσαι τὸν βασιλέα, ἰδικὴν συγκροτηθῆναι σύνοδον ἐν Ἰταλίᾳ. οὐκ ἂν δὲ ἐζήτησεν, ὅπερ σὺν τῷ δικαίῳ ἔφθασεν ἔχων. ἀνάγνωθι καὶ ταύτην τὴν μαρτυρίαν.

Ἀπὸ τῶν πρακτικῶν τῆς τετάρτης συνόδου, ἀπὸ τῆς ἐπιστολῆς Λέοντος
ἐπισκόπου Ῥώμης, πρὸς τὸν βασιλέα Ῥωμαίων.

Πᾶσαι αἱ ἐκκλησίαι τῶν ἡμετέρων μερῶν, καὶ πάντες ἱερεῖς τὴν ὑμετέραν ἡμερότητα

μετ

μετὰ δακρύων ἱκετευόντων, κατὰ τὴν αἴτησιν τοῦ λιβέλλου Φλαβιανοῦ τοῦ ἐπισκόπου, ὥστε κελεῦσαι ἰδικὴν σύνοδον ἐν τῇ τῆς Ἰταλίας ἐπιτελεσθῆναι.

Εἰ δὲ, ὅτι ὁ Πέτρος ἐν Ῥώμῃ τὸν βίον κατέλυσε, διὰ τοῦτο μέγαν τὸν τῆς Ῥώμης θρόνον ἡγῇ, πάντως ὁ τῶν Ἱεροσολύμων τὸ πλέον ἕξει, ἐκεῖ τοῦ σωτῆρος τὸν ζωοποιὸν καταδεξαμένου θάνατον.

Εἰ δέ σε θορυβεῖ, τὸ τῆς τιμῆς μέγεθος, ὃ παρὰ τῶν μακαρίων πατέρων ὁ τῆς Ῥώμης ἐκληρώσατο θρόνος, τάξεως φυλακὴν τὸ τοιοῦτον ἡγοῦ. μέγα δὲ παρὰ τοῖς ἁγίοις ἡ τάξις, ἣ καὶ τὰ οὐράνια συνέχει, καὶ τὰ ἐπίγεια. ἄλλως τε καὶ ἀποστολικὸς αὐτοὺς κατεπείγει νόμος, κελεύων ἀλλήλους τῇ τιμῇ προηγεῖσθαι. καὶ τὸ τῆς ταπεινώσεως δὲ ὑπόδειγμα, ὃ τοῖς μαθηταῖς ὁ κύριος παρέδειξεν, ἐν ὑπηρέτου τάξει τοὺς πόδας ἀπονίπτων αὐτῶν, καὶ τ᾽ ἄλλα ὅσα ὑπερφυῶς ἐκεῖνος ἐνήργησε, τὴν ἡμετέραν οἰκονομῶν σωτηρίαν, ἱκανὴ παράκλησις πρὸς ταπείνωσιν. εἰ δὲ ὁ μακάριος Παῦλος Κορινθίοις γράφων, Ἐγὼ δὲ δοῦλος ὑμῶν, φησὶ, διὰ Ἰησοῦν Χριστὸν, καὶ δοῦλον δὲ τῶν δούλων τοῦ Θεοῦ ὁ πάπας ἑαυτὸν καλεῖ, καὶ πρόγραμμα δὲ τῶν αὐτοῦ ἐπιστολῶν τὸ τοιοῦτον· τί μέγα, εἰ καὶ οὗτος τὰς ὁμοίας καρποῦται τιμὰς, τὸ πρῶτος εἶναι παρὰ τῶν πατέρων δεξάμενος;

Κορ. β.
κεφ. δ.

Ἀλλ᾽ οὐκ ἔστι, φησὶ, τοῦ πάπα χωρὶς τὰ ἐκκλησιαστικὰ κανονίζεσθαι. καλῶς γε. ἀλλ᾽ οὐδὲ τῷ πάπᾳ τῶν ἄλλων χωρὶς, ἕως ἂν τοῖς τῶν ἀποστόλων νόμοις πειθόμενος ᾖ. ἀνάγνωθι ἀποστόλων κανόνα τριακοστὸν τέταρτον, ὅς φησι. Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλὴν, καὶ μηδέν τι πράττειν περιττὸν ἄνευ τῆς ἐκείνου γνώμης· ἐκεῖνα δὲ μόνον πράττειν ἕκαστον, ὅσα τῇ αὐτοῦ παροικίᾳ ἐπιβάλλει, καὶ ταῖς ὑπ᾽ αὐτὴν χώραις. ἀλλὰ μηδὲ ἐκεῖνος ἄνευ τῆς πάντων γνώμης ποιείτω τι. οὕτω γὰρ ὁμόνοια ἔσται, καὶ δοξασθήσεται ὁ Θεὸς διὰ κυρίου ἐν ἁγίῳ πνεύματι, ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον. Εἰ δέ τις πρὸς τοὺς κανόνας τῶν μακαρίων ἀποστόλων ἀντιλέγειν ἐθέλοι, νόθους ἀποκαλῶν αὐτοὺς καὶ ἥκιστα πρέποντας ἀποστολικαῖς ψυχαῖς, παρὰ τῶν μακαρίων παιδευέσθω πατέρων. τίνων τούτων; τῆς πρώτης συνόδου, τῆς τρίτης, τῆς τετάρτης, τῆς ἕκτης, τῆς ἑβδόμης. τούτων γὰρ ἡ μὲν πρώτη σύνοδος, ἐν τῷ πέμπτῳ αὐτῆς κανόνι, μέμνηται ἀποστολικῶν δύο κανόνων, δωδεκάτου καὶ τριακοστοῦ δευτέρου. ἐν δὲ τῷ πεντεκαιδεκάτῳ πάλιν αὐτῆς, μέμνηται ὡσαύτως ἀποστολικοῦ πεντεκαιδεκάτου. ἡ δὲ τρίτη σύνοδος πρὸς τὸν βασιλέα Θεοδόσιον γράφουσα, ἑβδομηκοστοῦ τετάρτου ἀποστολικοῦ κανόνος μέμνηται, ᾧ χρησαμένη καθεῖλε Νεστόριον. τῷ αὐτῷ κανόνι ὁμοίως καὶ ἡ τετάρτη σύνοδος χρησαμένη Διόσκορον καθεῖλε. πάλιν δὲ ἡ αὐτὴ τετάρτη ἐν πέμπτῳ αὐτῆς κανόνι, περὶ τοὺς ιβ, καὶ ιγ, καὶ ιδ, καὶ ιε, τῶν ἀποστολικῶν κανόνων, ῥητῶς οὕτω λέγει· Περὶ τῶν μεταβαινόντων ἀπὸ πόλεως εἰς πόλιν ἐπισκόπων καὶ κληρικῶν, ἔδοξε τοὺς περὶ τούτων τεθέντας κανόνας παρὰ τῶν ἁγίων ἀποστόλων καὶ πατέρων ἔχειν τὴν ἰσχύν. οἱ δὲ κανόνες τῆς ἕκτης συνόδου, καὶ τὸν ἀριθμὸν τῶν ἀποστολικῶν νόμων φασίν.

Ἀποστολ.
κανόν. λδ

Συνόδ. δ.

Ἀπὸ τοῦ δευτέρου κανόνος τῆς ἕκτης συνόδου.

Ἔδοξε καὶ τοῦτο τῇ ἁγίᾳ συνόδῳ κάλλιστά τε καὶ σπουδαιότατα, ὥστε μένειν καὶ ἀπὸ τοῦ νῦν βεβαίους καὶ ἀσφαλεῖς πρὸς ψυχῶν θεραπείαν καὶ ἰατρείαν παθῶν, τοὺς ὑπὸ τῶν πρὸ ἡμῶν ἁγίων καὶ μακαρίων πατέρων δεχθέντας καὶ κυρωθέντας, ἀλλὰ μὴν καὶ παραδοθέντας

ἡμῖν,

ἡμῶν, ὀνόματι τῶν ἁγίων καὶ ἐνδόξων ἀποστόλων, ὀγδοήκοντα πέντε κανόνας. ἡ δὲ ἑβδόμη, ἐν τῷ πρώτῳ αὐτῆς κανόνι, τοὺς τῆς ἐκκλησίας καταλέγουσα νόμους, προστίθησι πάντων, τοὺς ὑπὸ τῶν ἀποστόλων ἐκτεθέντας, τὸ τοῦ Μωσέως ἐκεῖνο κατὰ πάντων κρατεῖν
Μωυσ. ἀξιοῦσα· « Ἐν αὐτοῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν. τοὺς ὑπὸ τοσούτων οὖν καὶ τοιούτων μαρτυρουμένους ἐκβαλλόμενοι εἰπέ μοι, καὶ νόθους νομιζόμενοι, ἀχρηστίαν κατεγνωκότες αὐτῶν; καὶ πῶς ταῦτα ἀνεκτά; Κεφάλαιον τῶν λεγομένων, ἕως μὲν ὁ πάπας σώζῃ τὴν τάξιν, καὶ μετὰ τῆς ἀληθείας ἕστηκε, καὶ τῆς πρώτης καὶ κυρίως ἀρχῆς οὐκ ἀφίσταται, καὶ κεφαλὴ τῆς ἐκκλησίας, καὶ ἀρχιερεὺς ἄκρος, καὶ Πέτρου καὶ πάντων ἀποστόλων διάδοχος. καὶ δεῖ πάντας αὐτῷ πείθεσθαι, καὶ οὐδὲν ὃ τὴν τιμὴν ἐκείνου χωρεῖ. εἰ δὲ τῆς ἀληθείας ἀποχωρήσας, οὐ βούλεται πάλιν πρὸς ἐκείνην ἐπανιέναι, τὰ τῶν καταδίκων πείσεται. Εἴρηται ταῦτα κατὰ τὴν ἡμετέραν δύναμιν. ἄρα ἀληθῆ μὲν ὄντα, ὑπὲρ τοῦ πάπα ἔσται ἀρχῆς· εἰ δὲ ψευδῆ, θεραπεύειν λοιπὸν τὸν οὐκ ἐθέλοντα νοσεῖν. ἕστηκα γὰρ μετ'
Ψαλμ. ριη. ἐκείνων οἷς ἔργον ψάλλειν. Μὴ περιέλῃς ἐκ τοῦ στόματός μου τὸν λόγον ἀληθείας.

ΤΟΠΟΙ ΟΛΙΓΟΙ ΤΩ ΑΥΤΩ ΕΠΙΧΕΙΡΗΜΑΤΙ ΠΡΟΣΗΚΟΝΤΕΣ.

Ἐκλεκτοὶ ἐκ ποικίλων τοῦ αὐτοῦ Νείλου συγγραμμάτων.

ΕΚ ΔΙΑΛΕΞΕΩΣ ΤΙΝΟΣ ΤΩΝ ΛΑΤΙΝΩΝ ΜΕΤΑ ΤΩΝ Ἑλλήνων, ἐν ᾗ οἱ Λατῖνοι τὴν ἑαυτῶν ὑπόληψιν παρὰ τὰ λοιπὰ ἐπιχειρήματα, καὶ τοῦτο βεβαιῶσαι διατείνονται. δηλαδὴ ὅτι ὁ πάπας οὐ δύναται τῆς ἀληθείας ἐκπεσεῖν.

ΕΤι καὶ ἀπὸ τοῦ μὴ δύνασθαι τὸν πάπαν τῆς ἀληθείας διαμαρτεῖν, ὡς καὶ ὁ μακάριος Ἀγάθων φησὶ πρὸς τοὺς βασιλέας Ῥωμαίων γράφων. οὗ τὴν ἐπιστολὴν ὡς ἀποστολικὰς φωνὰς ἡ τῶν οἰκουμενικῶν συνόδων ἕκτη ἐδέξατο. οὐ μὴν ἀλλὰ, καὶ τὸ ποικίλον καὶ παντοδαπὸν τῆς σοφίας ὥσπερ ἡ τῆς Ῥώμης ἐκκλησία πλουτεῖ, μεθ' ἧς ἐπὶ τὴν τῶν γραφῶν ἦλθεν ἔρευναν, κατὰ τὴν τοῦ κυρίου φωνὴν, μαρτύριον ἱκανὸν, μετὰ τῆς ἀληθείας αὐτὴν ἵστασθαι. οὐ γὰρ τοῖς ἰδιώταις καὶ ῥαθύμοις καὶ μηδὲν εἰδόσι τὰ τοιαῦτα ἐπιτρέψομεν.

Καὶ περὶ τούτων κατὰ μέρος διὰ πολλῶν ἡμῖν εἴρηται, ἐν οἷς ἐσκοπούμεθα περὶ τῆς τοῦ πάπα ἀρχῆς. δέδεικται γὰρ ἐκεῖ, πάντα ἄτοπα καὶ δρᾶσαι καὶ παθεῖν τὸν τῆς Ῥώμης ἐπίσκοπον δύνασθαι, ὥσπερ καὶ τῶν ἀνθρώπων ἕκαστον. καὶ Ὀνώριος δὲ μαρτύριον ἐγγίνεται τοῦ λόγῳ,

λόγῳ, Ῥώμης ἐπίσκοπος ὤν, καὶ ὑπὸ τῆς ἕκτης συνόδου τῷ ἀναθέματι καθυποβληθείς, ὡς αἱρέσεως ἔξαρχος. ᾗ συνεῖπε καὶ ὁ τῆς Ῥώμης ἐπίσκοπος, ὁ μετὰ τὸν Ἀγάθωνα, Λέων. καὶ πάπας δὲ ἕτερος ἐν τοῖς ἄνω χρόνοις, ἐκεῖνον καλοῦσι, τῆς Ἀρειανικῆς μανίας ἐμφορηθείς, οὕτω τὸν βίον κατέλυσεν. καὶ Κελεστῖνον δέ τινα Λατῖνοί φασιν, ἐπιθυμῆσαι μὲν ἐκτόπως τῆς Ῥωμαίων ἐπισκοπῆς, πᾶσαν δὲ συμμαχίαν εἰς τοῦτο φέρουσαν ἀτιμάσαντα, τὴν μὲν πρὸς Θεὸν ἐξομόσασθαι πίστιν, μάγοις ὁδηγοῖς χρώμενον, δαίμοσι δὲ ὀλεθρίοις ἑαυτὸν παραδόντα, οὕτω τῆς ἐπιθυμίας τυχεῖν. Τὸ δὲ ποικίλον καὶ παντοδαπὸν τῆς σοφίας, παρὸν μέν, οὐκ ἂν ἀτιμασθείη· ἀπὸν δέ, ζητηθείη μὲν ἄν, οὐμὴν οὔτοιγε, ὥστε τούτου χωρὶς μὴ ἂν δύνασθαι ὑγιαίνειν περὶ τὴν πίστιν. οἵτε γὰρ τῆς ἡμετέρας εὐσεβείας καθηγεμόνες, οὐκ ἐν πειθοῖ σοφίας ἀνθρωπίνης τὰς συνουσίας τὰς ἑαυτῶν ἐποιοῦντο, καὶ τὴν τοῦ κόσμου σοφίαν κένωσιν ἡγοῦντο τῆς δυνάμεως τοῦ σταυροῦ. καὶ νῦν μέν, ἡ τῆς Ῥώμης ἐκκλησία περιέπει τῇ τοῦ κόσμου σοφίᾳ, καὶ ταύτῃ θαῤῥοῦσα, τὴν ἔρευναν τῶν θείων ποιεῖται· ἴσμεν δέ, ὅτι πολλῇ συνέζων ἀγροικίᾳ Ῥωμαῖοι, καὶ τὰ ἡμέτερα ἤνθει. ἀλλ' οὔτι τότε, διὰ τὸ φαύλως περὶ τοὺς λόγους ἔχειν τὴν ἐκκλησίαν τὴν ἐκείνων, καὶ περὶ τὴν πίστιν εἶχον οὐχ ὑγιῶς· οὔτι νῦν διὰ τὴν τῆς σοφίας χρῆσιν, πᾶσα ἀνάγκη τὴν ἀλήθειαν μετ' ἐκείνων ἑστηκέναι. Κορινθ. α. κεφ. β.

Εἰ δὲ νῦν διὰ τὸν τῆς σοφίας πλοῦτον, πᾶσα ἀνάγκη Λατίνους μὲν μετὰ τῆς ἀληθείας ἑστάναι, ἡμᾶς δὲ τῆς ἐναντίας γενέσθαι μοίρας, διὰ τί μὴ τότε κακῶς εἶχον Λατῖνοι οὕτω περὶ λόγους ἔχοντες ἐνδεῶς, ὡς μηδὲ τὴν τῶν γραφῶν ἁπλοϊκὴν γνῶσιν τελείως εἰδέναι δύνασθαι; καὶ μὴν καὶ Ὠριγένης σοφώτατος ἐν Χριστιανοῖς γεγονὼς καὶ περὶ τὰς γραφὰς σπουδαιότατος, οὐδὲν ἀπώνατο τῆς σοφίας, ὥστε καθαρὰν καὶ ἄδολον διατηρῆσαι τὴν πίστιν. καὶ ἐπὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς πρώτης συνόδου Εὐσέβειος ὁ Καισαρείας, πάντων ἐπισκόπων ἐν λόγοις ἐκράτει, ὡς ὁ θεολόγος φησὶ Γρηγόριος, καὶ τῆς ἁγίας ἐκείνης χορείας μέρος καὶ αὐτὸς ἦν. ἀλλὰ τοσαῦτα πράγματα τοῖς ἁγίοις παρέσχε, βλασφημῶν εἰς τὸ ὕψος, ὥστε ἀποροῦσι πότερον ἐκεῖνον προσήκει καλεῖν, ἀσεβῆ δογματιστήν, ἢ φιλόνεικον καὶ ἐχθρόν. τί δ' ἄν τις περὶ τῶν ἐν χρόνοις ἐκείνοις φιλοσόφων λέγοι, οἳ τὴν ἀλήθειαν ἀγνοήσαντες, Ἀρείῳ διετέλεσαν συμμαχοῦντες; καὶ διὰ χρόνου μόλις ἐνίοις πρὸς τὴν ἀλήθειαν ἐγένετο διαβλέψαι, τῶν μαθητῶν ἡγουμένων αὐτοῖς; οὐκ ἄρα πᾶσα ἀνάγκη, Λατίνους μὲν σοφίᾳ περιῤῥεομένους πολλῇ, καὶ περὶ τὴν πίστιν ἐῤῥῶσθαι, οὕτω τῶν πραγμάτων ἀντιβοώντων.

ΑΡΧΗ
ΔΙΑΛΕΞΕΩΣ ΤΙΝΟΣ ΓΡΑΙΚΟΥ ΚΑΙ
Καλδηναρίων τινῶν ἀπὸ τῆς πρεσβυτέρας Ῥώμης.

Ο ΚΑΛΔΗΝΑΡΙΟΣ.

ΤΗΣ Ῥωμαίων ἁγίας ἐκκλησίας, τὰ τῶν ἐκκλησιῶν πασῶν κληρωσαμένης πρωτόλεια, καὶ τούτων μητρὸς οὔσης τε καὶ καλουμένης, διὰ τὸν πρώτως ταύτην ποιμάναντα Πέτρον, τὸν μέγαν κορυφαῖον ἀποστόλων· τῆς δὲ τῶν Κωνσταντινουπολιτῶν, δευτέρας καὶ θυγατρὸς ἐκείνης χρηματιζούσης, πῶς ἡ θυγάτηρ κατὰ ποίας αἰτίας αὐθαιρέτως οὕτως τῆς μητρὸς ἀπεσκίρτησεν;

Ο ΓΡΑΙΚΟΣ.

Ἂν εὐγνωμόνως ἀκούειν ἐθέλετε, τὸ πρὸς τιμὴν τάχα τοῦ κορυφαίου τῶν ἀποστόλων τοῦτο παρ᾽ ὑμῶν εἰσαγόμενον, εἰς τοὐναντίον μᾶλλον περιτρεπόμενον εὕρητε. πρῶτον μὲν, ὅτι τῆς οἰκουμένης ὄντα διδάσκαλον, ἀπὸ τῆς Ἰουδαίας ἀρξάμενον τοῦ κηρύγματος, ἐν δὲ τῇ Ῥώμῃ τὸν τῆς ἀποστολῆς δρόμον τελέσαντα, διὰ τοῦ τοιούτου προβλήματος ὑμῶν μόνης τῆς Ῥώμης διδάσκαλον τοῦτον ἀμέσως κατασκευάζετε. σὺν τούτῳ, καὶ τὴν τοῦ σωτῆρος πρὸς ἐκεῖνον ἐπαγγελίαν καθολικῶς περὶ πάντων τῶν πιστευσάντων καὶ πιστευόντων τοῖς θείοις ἑρμηνευομένην πατράσιν, στενοχωρεῖν ὑμεῖς εἰς μόνην τὴν Ῥώμην καὶ παρερμηνεύειν βιάζεσθε. τούτου δὲ διδομένου, λείπεται πάντως, τὸ τὴν ἐν Ῥώμῃ μόνον, οὐ μὴν καὶ πᾶσαν τῶν πιστῶν ἐκκλησίαν οἰκειοῦσθαί τε τὸν σωτῆρα, καὶ τὴν οἰκοδομὴν ταύτης, ὡς ἐπὶ πέτρᾳ τῇ τοῦ Πέτρου διδασκαλίᾳ κατεπαγγείλασθαι. πλὴν δὲ τιμὴν οἱ ταῦτα καὶ φρονοῦντες καὶ λέγοντες τῷ κορυφαίῳ τῶν ἀποστόλων χαρίζονται, ὑμεῖς συλλογίζεσθε. τέως ἡ τῶν Ῥωμαίων ἐκκλησία, τοῦ, κορυφὴ καὶ μήτηρ πασῶν τῶν ἐκκλησιῶν εἶναί τε καὶ καλεῖσθαι τετύχηκεν, ὅτι δηλαδὴ ποιμὴν ἐκεῖνος αὐτῆς ἐχρημάτισε· πολλῷ μᾶλλον ἂν εἴη δικαιότερον, τὴν μεγάλην Ἀντιόχειαν τὰς τοιαύτας κλήσεις κληρώσασθαι, προτέρως τῷ κορυφαίῳ μαθητευθεῖσαν, εὐπειθῶς τε παραδεξαμένην τὸ κήρυγμα, καὶ μετ᾽ εὐγνωμοσύνης ὅτι πολλῆς ὑποδεξαμένην τὸ, Χριστιανοὺς κληθῆναι πρώτως τοὺς ταύτης οἰκήτορας, κἀντεῦθεν καὶ τὸ, καθ᾽ ἐξαίρετον, Θεούπολιν ὀνομασθῆναι, πλουτήσασαν. εἰ δ᾽ οὖν, ἀλλὰ τὴν ἐν Ἱεροσολύμοις ἐκκλησίαν, μέγαν καὶ πρῶτον ἀρχιερέα τὸν τῆς σωτηρίας ἡμῶν ἀρχηγὸν καὶ κύριον Ἰησοῦν Χριστὸν εὐτυχήσασαν, ὡς τὸν τῆς ἀληθείας λόγον ἐν αὐτῇ προκηρύξαντα καὶ διδάξαντα, καὶ ἑαυτὸν ὑπὲρ ὑμῶν προσενεγκόντα σφάγιον ἐθελόθυτον, οὕτω τε κληρωσαμένην, τὸ, μητέρα πασῶν τῶν ἐκκλησιῶν ὀνομάζεσθαι. οὐ γὰρ οὐχ οὕτω ταῦτα καὶ φρονοῦντες καὶ λέγοντες, μείζονα λοιπὸν τοῦ κυρίου τὸν δοῦλον, καὶ τοῦ πέμψαντος τὸν ἀπόστολον, ἀπέναντι τῆς τοῦ Χριστοῦ διδασκαλίας, παραδιδόασι, τοίνυν οὐ διὰ τὸ

νομιζο-

νομιζομένην ὑμῶν αἰτίαν, ἀλλὰ διὰ τῆς βασιλείας καὶ τῆς μοναρχίας τιμήν, ἣ καὶ πρὸ τοῦ τῶν ἀποστόλων κηρύγματος ἡ παλαιὰ Ῥώμη ἐκεκόσμητο, καὶ τῆς ἁπάσης τῆς οἰκουμένης ἡγεμονίαν ἐκέκτητο, τὰ τῶν ἄλλων φέρειν πρωτεῖα τὴν τοιαύτην ἐκκλησίαν, ὑπ' αὐτῆς τῆς τῶν πραγμάτων ἐνεργείας διδασκόμεθα. μετὰ γὰρ τὸ κήρυγμα πάντως ἀκόλουθον ἂν ἦν, ἑπομένως τῇ βασιλείᾳ, καὶ τὴν ταύτης ἱερωσύνην, τήν τε τιμὴν καὶ τὴν τῶν ἄλλων ἁπασῶν ἐκκλησιῶν προκαθεδρίαν κληρώσασθαι. μενοῦνγε καὶ μείζονα προσεπιφιλοτιμηθῆναι ταύτην αὐτῇ, παρὰ τοῦ μεγάλου Κωνσταντίνου γνωρίζομεν, ἐκ τῆς αὐτοῦ διατάξεως ἐκτεθείσης, ὅτι ἐξ ἐκείνης πρὸς ταύτην τὴν μεγαλόπολιν τὰ τῆς βασιλείας πάντα παράσημα μετεβίβασε, τῷ οἰκείῳ τιμήσας ταύτην ὀνόματι, καὶ βασιλίδα καταξιώσας καλεῖσθαι τῶν πόλεων.

Ὁ ΚΑΛΔΗΝΑΡΙΟΣ.

Ἵνα τί οὖν μὴ τῇ καθ' ὑμῶν ἐκκλησίᾳ τῇ τῆς οἰκείας κεφαλῆς ἑαυτὴν ἀναιτίως ἀπορρήξασῃ, τῇ δὲ μητέρι ταύτης μηδεμίαν πρόφασιν διαστάσεως παρεσχημένῃ, ὀδυνωμένῃ δὲ μᾶλλον διὰ τὴν ἐκτομήν, τὴν αἰτίαν τῶν σκανδάλων ἐπιγράφειν σπουδάζετε;

Ὁ ΓΡΑΙΚΟΣ.

Εὐσυνειδότως ἀποκρινάσθω ἡ ὑμετέρα εὐλάβεια. τοῦ σωτῆρος, τὸν πατέρα ἢ μητέρα φιλοῦντα ὑπὲρ ἐκεῖνον, ἑαυτοῦ ἀνάξιον κρίνοντος, τῆς δὲ καθ' ὑμᾶς ἐκκλησίας οὐκ οἶδα πῶς ἐπιχειρησάσης τῷ καθαρῷ σίτῳ, τῇ κυριακῇ διδασκαλίᾳ, καὶ τῇ τῶν ἀποστόλων καὶ πατέρων παραδόσει παρασπεῖραι ζιζάνιον· ἐὰν ἡ καθ' ἡμᾶς ἐκκλησία, πρῶτον μὲν, τὸ τοιοῦτον ζιζάνιον ἀνασπάσαι ποικίλως ἐπιχειρήσασα, μὴ δυνηθεῖσα δὲ τῆς ἀπειθείας, καὶ πάλιν ἀναπαστάσως μένειν, διὰ τὸ πρὸς ἐκείνην φιλόστοργον· πῶς οὐκ ἂν αὐτῇ ἑαυτῇ τὴν πρὸς τὸν κοινὸν δεσπότην καὶ πατέρα καὶ δημιουργὸν ἀξιότητα δικαίως ἐπεψηφίσατο, τῷ τοι καὶ καλῶς τῷ μέρει τῆς ὑμῶν ἐκκλησίας, τὸ τῶν σκανδάλων αἴτιον ἐπιγράφεται;

ΤΕΛΟΣ.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΒΑΡΛΑΑΜ ΛΟΓΟΣ ΠΕΡΙ ΤΗΣ τοῦ πάπα ἀρχῆς.

ΚΕΦΑΛΑΙΟΝ Α.

ΟΙ περὶ τὰς ἐπιστήμας δεινοί, ὦ χρηστὲ Φραγκίσκε, λέγουσιν, ὅτι ἕκαστος ἐπιστήμων μόνοις δύναται διαλέγεσθαι περὶ ὁτουοῦν τῶν κατὰ τὴν οἰκείαν ἐπιστήμην προβαλλομένων, τοῖς φυλάσσουσι τὰς τῆς ἐπιστήμης ἀρχάς· εἰ δέ τις ταύτας ἀναιρεῖ, οὐκέτι λόγος πρὸς τοῦτον. τοῦτο ἐγὼ κἀν τοῖς ἐκκλησιαστικοῖς σκοποῖς βλέπω· ὅσοι γὰρ ταῖς αὐταῖς ἀρχαῖς χρώμενοι φαίνονται, τούτοις δήπου περὶ παντὸς τοῦ προτεθέντος δυνατὸν ἐς λόγους ἐλθεῖν· οἷς δὲ οὐχ αἱ αὐταὶ ὁμολογοῦνται, ἀδύνατον πάντως· ἀναγκαῖον ἄρα, εἰ μέλλοιμεν περὶ τῶν μεταξὺ ζητουμένων λόγους κινεῖν, τὰς αὐτὰς ἀρχὰς ὁμολογεῖν· εἰ δὲ μή, ἑκάτερος ἐφ' ἡσυχίας μενέτω. ἐπεὶ δὲ σὺ καλῶς ποιῶν ὁμολογήσας ἤδη τυγχάνεις, ὡς τὰς μὲν ἀρχάς, καὶ τὰ ἐκ τούτων ὀρθῶς δεικνύμενα φυλάττεις, ἃ δὲ τούτοις ἐστὶν ὑπεναντία, οὐ παραδέχῃ, δεῖν ᾠήθην ἀδελφικῶς τε καὶ φιλικῶς ἐκ τῶν αὐτῶν ὡρμημένος ἀρχῶν, βραχέα σοι περὶ ὧν διαφερόμεθα διαλέξειν. δέομαι δὲ τῆς παναγάθου Θεοῦ φιλανθρωπίας, ἵνα φωτίσῃ ἀμφοτέρων τὸν νοῦν, καὶ δῷ ἐμοὶ μὲν ὀρθῶς λέγειν, σοὶ δὲ κρίσιν ὀρθὴν τῶν λεγομένων· δέομαι δὲ τῆς σῆς ἀγάπης, ἵν' ἐπειδὰν ἐν τοῖς παρ' ἐμοῦ λεγομένοις ἴδῃς τι τῶν μὴ ἀρεσκόντων σοι, πρῶτον μὲν μακροθύμως αὐτὸ ἀναγνῷς, ἕως ἂν καταλάβῃς τοῦ λεγομένου τὸν νοῦν· εἶτ' ἀναγάγῃς ἐπὶ τὰς κοινῇ ὁμολογημένας ἀρχάς· καὶ εἰ ἴδοις ταύταις διαφωνοῦν, ἢ ἐναντιούμενον, ἐλέγξαι, καὶ τὸν ἔλεγχον προθύμως δεξόμεθα. κρεῖττον γὰρ ὑπ' ἀδελφοῦ καὶ φίλου ἐλέγχεσθαι, ἢ ὑπό του ἀκούειν τὰ προσφιλέστατα· ἀναγκαῖον δὲ ἡγοῦμαι αὖθις ὑπομνῆσαί σε τῶν ἀρχῶν· εἰσὶ δὲ αὗται· τὰ τέσσαρα εὐαγγέλια, τὰ τῶν ἀποστόλων συγγράμματα, αἵ τε καθολικαὶ ἐπιστολαὶ καὶ αἱ μερικαί, αἵ τε τῶν ἀποστόλων πράξεις, τοῦ Θεολόγου ἡ ἀποκάλυψις, κανόνες τῶν ἀποστόλων, οἱ κανόνες τῶν θείων πατέρων ἡμῶν, τῶν ἐν ταῖς ἁγίαις οἰκουμενικαῖς ἑπτὰ συνόδοις συνελθόντων· αὗται μὲν αἱ ἀρχαί· ἐκ τούτων δὲ ἐλέγχειν ἄλλους οὐ παραιτήσομαι, καὶ ἐλεγχόμενος καταδέξομαι.

ΚΕΦ.

ΚΕΦΑΛΑΙΟΝ Β.

Ἀρκτέον δέ μοι ὧδε τοῦ λόγου· φὴς ὅτι τῷ μακαρίῳ Πέτρῳ ὁ δεσπότης ἡμῶν Ἰησοῦς Χριστὸς τὴν ἑαυτοῦ ἐκκλησίαν ἐνεχειρίσατο, καὶ ποιμένα ταύτης καὶ κοινὸν διδάσκαλον καθεστάναι ἐπέταξε, καὶ δεῖ τὸν Ῥώμης ἐπίσκοπον, διάδοχον τούτου τυγχάνοντα, πάντων κρατεῖν, πάντων ἄρχειν, κατὰ πάντων ἔχοντα ἐξουσίαν, καὶ πᾶν ὅπερ βουλομένῳ ἐστὶν αὐτῷ κατὰ πολλὴν ἐξουσίαν δογματίζειν, καὶ μηδενὶ πάντων ἐξεῖναι τοῖς ἐκείνῳ δεδογμένοις ἀντειπεῖν, ἀλλὰ πάντας ἀπολυπραγμόνως ὡς Θεοῦ φωνὰς τὰ ἐκείνου δόγματα δέχεσθαι. Ἐγὼ δέ, ὅτι μὲν ὁ μακάριος Πέτρος καθολικὸς ποιμήν τε καὶ διδάσκαλος ἁπάσης τῆς τοῦ Θεοῦ ἐκκλησίας κατέστη, πάνυ γε ἀληθὲς φημί· οὐ μὴν αὐτός γε μόνος, ἀλλ' ἰσοτίμως αὐτῷ καὶ τῶν δώδεκα ἕκαστος. ἔχει γὰρ οὕτω. τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν δώσειν τῷ Πέτρῳ ὑπέσχετο, καὶ ταύτας εἶναι τὴν τοῦ δεσμεῖν τε καὶ λύειν ἐξουσίαν, δι' ὧν ἐπήγαγεν ἐδήλωσεν. ἀλλὰ μὴν ταύτην γε καὶ τοῖς λοιποῖς ἀποστόλοις δεδωκὼς φαίνεται· Ὃ γὰρ ἂν δήσητε, φησὶν ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον καὶ ἐν τοῖς οὐρανοῖς. καὶ ὃ ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς. [Ματθ. ιϛ.] καὶ πάλιν, Λάβετε πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται. [Ἰωάν. κ.] ἀλλὰ καὶ τὴν ἱερὰν καὶ μυστικωτάτην θυσίαν οὐ τῷ Πέτρῳ μόνῳ, ἀλλὰ κοινῇ πᾶσιν ἐπιτελεῖν ἐπέταξεν· Τοῦτο γάρ, φησί, ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. [Λουκ. κβ.] εἰ δὲ καὶ πρὸς Πέτρον μόνον εἴρηται τό, Ποίμαινε τὰ πρόβατά μου· [Ἰωάν. κα.] ἀλλ' οὖν δυνάμει καὶ πρὸς τοὺς λοιποὺς ταυτὸ διαβαίνει, ὡς ἐξ αὐτῶν ἐστι φανερὸν τῶν πραγμάτων· τί γὰρ ὧν ὁ Πέτρος ἐποίει, οὐχὶ καὶ πάντες ἔπραττον τοῦτο; μετὰ τὴν τοῦ θείου πνεύματος κάθοδον, οὐκ ἄλλος ἄλλο τι τῆς οἰκουμένης μέρος διαλαβών, τοὺς πεπλανημένους ἐδίδασκε, καὶ τοὺς ἐσκοτισμένους ἐφώτιζεν; οὐκ ἐκκλησίας καθίστα; οὐ πρεσβυτέρους ἐχειροτόνει; οὐκ ἐπισκόπους; οὐ διακόνους; πότε δέ τις οὖν τούτων ἐπὶ ταῦτα προτραπεὶς πρὸς τοῦ Πέτρου ταῦτ' ἐπετέλει; οὐχ ἕκαστος αὐτῶν τὴν αὐτὴν παρὰ τοῦ δεσπότου Χριστοῦ εἰληφὼς ἐξουσίαν, οἵῳ δ' ἂν μέρει τῆς οἰκουμένης διδάσκων ἐτύγχανεν, ταῦτα αὐτόθεν ἐποίει, ἃ καὶ ὁ μακάριος Πέτρος ἐν οἷς τόποις εὐηγγελίζετο; εἰ δὲ καὶ τῆς ἡμετέρας εὐσεβείας ἐστὶ τὸ μὴ τῇ διαφορᾷ τῶν ῥημάτων προσέχειν, ἀλλὰ τῇ ταυτότητι πραγμάτων, τί σοι δοκεῖ τό, Λήψεσθε δύναμιν ἐξ ὕψους, ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς, [Πράξ. α.] πληθυντικῶς τοῖς πᾶσιν εἰρημένον; καὶ τό, Πορεύεσθε εἰς πάντα τὰ ἔθνη, καὶ κηρύξατε τὸ εὐαγγέλιον μου πάσῃ τῇ κτίσει, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν; [Ματθ. κη.] τί οὖν; οὐ διὰ τούτων τῶν ῥημάτων ἅπαντας ποιμένας τε καὶ διδασκάλους ἐχειροτόνησε τῆς οἰκουμένης ἁπάσης; διὸ οὐδεὶς αὐτῶν τῆσδε ἢ τῆσδε τῆς πόλεως ἢ χώρας ἐπίσκοπος κατωνόμασται, ἀλλὰ πανταχοῦ τὴν αὐτὴν ἐξουσίαν ἐτύγχανεν ἔχων· οἱ δὲ μετ' αὐτοὺς ὑπ' αὐτῶν χειροτονηθέντες, ἄλλος ἄλλῃ πόλει καὶ χώρᾳ μερικὸς ἤδη ποιμὴν ἐγνωρίζετο. πῶς οὖν ὁ μακάριος Πέτρος κορυφαῖος καὶ πρωτόθρονος τῶν ἀποστόλων ὀνομάζεται, εἰ ταῦθ' οὕτως ἔχει; μικρὸν ἐπίσχες, καὶ τούτου τὴν λύσιν παρέξομεν, οὐκ ἀπὸ τῶν οἰκείων λογισμῶν, ἀλλ' ἀπὸ τῶν θείων λογίων τὰς πίστεις κομίζοντες. οὔτε γὰρ ἡμεῖς πώποτε ἐξ ἀνθρωπίνων λογισμῶν περὶ τῶν μυστικῶς ἡμῖν παραδεδομένων εἰπεῖν τι τῶν ζητουμένων ἐπι-

ἐπιχειρήσομεν, οὔτε τῶν ἄλλων τοῦτο τολμώντων ἀμαθῶς καὶ θρασέως, ἀνεξόμεθα, ἢ τὰς ἀκοὰς ὑποθήσομεν ταῖς βεβήλοις αὐτῶν κενοφωνίαις· ὁρῶ δὴ τὸν Πέτρον, ἡνίκα δέησε πρὸς ἀναπλήρωσιν τῶν δώδεκα ἄλλον τινὰ καθιστᾶναι, αὐτὸν ἀναστάντα πρῶτα τοῦ λόγου ἀρξάμενον· ὁμοίως δὴ τοῦ μετὰ τὴν τοῦ ἁγίου πνεύματος ἐπέλευσιν, αὐτὸν εὕροι τις ἂν τῆς διδασκαλίας ἡγούμενον· τοῦτ᾽ ἄρα τὸ ἐκείνου πρωτεῖον, τὸ τοὺς ἄλλοις αὐτοῦ τὴν τοῦ πρῶτα λέγειν τιμὴν παραχωρεῖν· εἰ δὲ σὺ ἀρχιερατικὰς διαιρῶν ἀξίας τήνδε μὲν φὴς δεδόσθαι τῷ Πέτρῳ, τήνδε τοῖς λοιποῖς· δεῖξον τοῦτο ἐκ τῶν θείων λογίων, ἀφεὶς τοὺς λογισμούς, καὶ δεξόμεθα· ἐγὼ γὰρ οὐχ εὑρίσκω πόθεν ἄν τις τεκμήραιτο τὸ διάφορον· οὔτε γὰρ ἐξ ὧν πρὸς αὐτοὺς ὁ δεσπότης διελέγετο, τοῦτ᾽ ἔστι στοχάσασθαι, οὔτε ἐξ ὧν αὐτοὶ μετὰ ταῦτα ἐποίουν· σὺ δὲ ἐμοὶ δοκεῖς περὶ τούτων διανοεῖσθαι, ὡσανεὶ μόνου μὲν τοῦ Πέτρου ὑπὸ Χριστοῦ, ὑπὸ δὲ τούτου τῶν λοιπῶν ἀποστόλων χειροτονηθέντων· τούτου ἕνεκα καὶ πάντας ὑπὸ τὴν τοῦ πάπα βουλόμενος ἐξουσίαν, καὶ μηδένα τὰς ἐκείνου συγχωρεῖς ἀρχὰς διαφυγεῖν, καὶ χειροτονίαν ἅπασαν ἀθετεῖς, ἣν ἐκεῖνος οὐκ ἐψηφίζετο, ὡς ἀναγκαῖον ὂν πᾶσαν ἐξ ἐκείνου ὑπάρχειν, ἢ ἄκυρον γε παντάπασι νομίζεσθαι· ἀλλὰ περὶ μὲν χειροτονίας ὕστερον ἐροῦμεν· νῦν δὲ συμπεραίνοντες τὰ διὰ πλειόνων ἡμῖν ἀποδεδειγμένα, λέγομεν, ὅτι τὰ μὲν πρὸς τὴν ἐκκλησίαν ἰσότιμοι πάντες ἐτύγχανον· τῆς δὲ ἱερᾶς αὐτῶν δωδεκάδος ὁ μακάριος Πέτρος ἐξήρχετο· τοῦτο πλέον τῶν ἄλλων ἔχων, τῶν ἄλλων παρόντων, αὐτὸς τῆς διδασκαλίας ἡγεῖσθαι, καὶ πρωτοκαθεδρίας ἴσως ἀξιοῦσθαι.

ΚΕΦΑΛΑΙΟΝ Γ.

Κοινῇ μὲν οὖν ὡς εἴρηται, οἱ τοῦ λόγου μαθηταὶ ποιμένες τῆς καὶ διδάσκαλοι τῆς οἰκουμένης ἐτύγχανον· μερικοὺς δὲ ποιμένας, οὓς ἐπισκόποις ὠνόμασαν, ἄλλον ἄλλης πόλεως ἢ χώρας προεβάλοντο· ὥσπερ οὖν Διονύσιος μὲν Ἀθηνῶν, Τιμόθεος δὲ Ἐφέσου, Τίτος δὲ Κρήτης, καὶ ἄλλος ἄλλης ποιμὴν ὑπὸ τῶν θείων ἀποστόλων κατέστη· οὕτω καὶ ὁ ἅγιος Κλήμης Ῥώμης ἐπίσκοπος ὑπὸ τοῦ Πέτρου κεχειροτόνηται· καὶ μόνης τῆς κατὰ τὴν Ῥώμην ἁγίας τοῦ Θεοῦ ἐκκλησίας ἡγεῖσθαι καὶ ταύτην οἰκονομεῖν ἐπιτέτραπτο. ὕστερον μέν τοι, ὅτε προνοίᾳ Θεοῦ ἦλθεν ἡμῖν τὰ βασίλεια, θεσπίσμασι τῶν εὐσεβεστάτων βασιλέων καὶ τῶν θείων πατέρων ἡμῶν, πρώτην εἶναι τὴν τῆς Ῥώμης καθέδραν νενομοθέτηται, διὰ τὸ βασιλεύουσαν εἶναι τὴν πόλιν, καὶ δεῖν τὰς κατὰ τὴν οἰκουμένην ἐκκλησίας ὑπὸ μίαν εἶναι ἀρχήν· πρὸ δὲ τούτου οὔτε πρῶτος οὔτ᾽ ἔσχατος ἦν ὁ Ῥώμης ἐπίσκοπος, ὡς οὐδὲ τῶν ἄλλων οὐδείς. εἰ δὲ σὺ τοῦτ᾽ ἔχεις δεῖξαι, ὅτι ὁ ἅγιος Κλήμης οὐ Ῥώμης ἐπίσκοπος μόνον, ἀλλὰ ξυμπάσης τῆς τοῦ Θεοῦ ἐκκλησίας παρὰ τοῦ Πέτρου ποιμὴν προεβλήθη, καὶ ἄρχειν μὴ μόνον τῶν ἐπισκόπων οὓς οἱ ἄλλοι ἀπόστολοι ἐχειροτόνησαν, ἀλλ᾽ ἤδη κἀκείνων οὓς ὁ κορυφαῖος ἐν ταῖς ἄλλαις πόλεσι κατέστησε· δεῖξον ταῦτα ἐξ ὧν εἴπομεν ἀρχῶν, καὶ δεξόμεθα· εἰ δὲ σὺ τοιοῦτον μὲν δεῖξαι οὐκ ἔχεις, ἡμῖν δὲ τοὐναντίον ῥᾴδιον δεῖξαι· ἢ πείσθητι, πρὸς Θεοῦ, ἢ παῦσαι ἀδίκως φιλονεικῶν· τίς γὰρ πώποτε ἢ τὸν Πέτρον Ῥώμης ἐπίσκοπον προσεῖπεν, ἢ τὸν Κλήμεντα κορυφαῖον; πολλῶν δὲ προβληθέντων ἐπισκόπων ὑπὸ τοῦ κορυφαίου Πέτρου ἐν διαφόροις ἄλλαις πόλεσι, ποῖος νόμος κελεύει μόνον τῶν ἄλλων τὸν Ῥώμης ἐπίσκοπον διάδοχόν τε αὐτοῦ ὀνομάζεσθαι, καὶ τῶν λοιπῶν ἄρχειν; τίς δὲ λόγος ἔτι κωλύσει μὴ καὶ τὸν Ἀλεξανδρείας διάδοχον εἶναι τοῦ Πέτρου, καὶ πάντων ἔχειν τὰ πρωτεῖα;

ὥσπερ

ὥσπερ γὰρ Κλήμης Ῥώμης, οὕτως ὁ εὐαγγελιστὴς Μάρκος Ἀλεξανδρείας ἐπίσκοπος ὑπὸ τοῦ θείου Πέτρου ἐγένετο· ΦΡΑΓΚΙΣΚΟΣ. ἀλλ' ἐν Ῥώμῃ ὁ ἀπόστολος τοῦ Χριστοῦ Θεὸν τέλους ἔτυχεν, ἀναγκαῖον ἄρα, τὴν ταύτης ἐπίσκοπον τὸν ἐκείνου τόπον ἐπέχειν· ΒΑΡΛΑΑΜ. οὐκοῦν ἐπεὶ ὁ δεσπότης ἡμῶν Ἰησοῦς Χριστὸς ἐν Ἱεροσολύμοις τὸν ὑπὲρ ἡμῶν ὑπέστη θάνατον, εἴη ἂν ὁ Ἱεροσολύμων ἐπίσκοπος πάντων πρεσβεύς, ὡς τὸν τόπον ἐπέχων τοῦ πρώτου ἡμῶν ἀρχιερέως· καὶ τοσοῦτον μείζων τοῦ Ῥώμης, ὅσον καὶ ὁ Χριστὸς τοῦ Πέτρου· ἔπειτα πῶς οὐκ ἄτοπον καὶ ἄλογον, ἕκαστον μὲν τῶν λοιπῶν ἀποστόλων κοινὸν ποιμένα καὶ διδάσκαλον ὁμοίως τῷ Πέτρῳ καθεσταίαι τῆς οἰκουμένης, μηδένα δὲ καταλιπεῖν διάδοχον, εἰ μὴ μόνον τὸν Πέτρον; εἰ δὲ βούλοιτό τις διαδόχους καταλιπεῖν τῶν ἄλλων ἀποστόλων, ἢ τοὺς ὑπ' αὐτῶν χειροτονηθέντας ἐπισκόπους, ἢ τοὺς οἰκονομοῦντας τὰς ἐκκλησίας, ἐν αἷς ἕκαστος ἔτυχε τελευτήσας, ἢ πρὸς Θεὸν ἀναλύσας, πῶς πάντας ὑπὸ τοῦ πάπα χειροτονεῖσθαι κελεύεις; μὴ γὰρ ἔχεις εἰπεῖν ὅτι οἱ ἀπόστολοι ὑπὸ τοῦ ἁγίου Πέτρου ἐχειροτονήθησαν; εἰ δὲ τοῦτο οὐκ ἀληθές, πῶς τοὺς ἐκείνων διαδόχους ἀξιοῖς ὑπὸ τοῦ ὃν φῂς τοῦ Πέτρου διάδοχον, χειροτονεῖσθαι; ἀλλ' ὅτι μὲν διάδοχοι καὶ τῶν λοιπῶν ἀποστόλων κατελείφθησαν, καὶ οὐδεὶς ἐν αὐτοῖς ὁ πρῶτος ὁ ἔσχατος ἦν, ἀλλὰ πάντες ἦσαν ὁμοταγεῖς· λέγουσι μὲν ἁπλῶς οὐκ ἂν ἴσως πεισθείης, παράγουσι δὲ ἀξιόπιστον μάρτυρα, οὐκ ἂν ἔχοις ἀντειπεῖν. ἔστι δὲ οὗτος ὁ ἱερὸς καὶ θεῖος Διονύσιος ὁ Ἀρεοπαγίτης ἐν οἷς γράφων πρὸς Δημόφιλον θεραπευτὴν φησίν, Αὐτὸς μὲν οὖν ἐπιθυμίᾳ καὶ θυμῷ, καὶ λόγῳ τὰ κατ' ἀξίαν ἀφόριζε. σοὶ δὲ οἱ θεῖοι λειτουργοί, καὶ τούτοις οἱ ἱερεῖς· οἱ ἱεράρχαι δὲ τοῖς ἱερεῦσι, καὶ τοῖς ἱεράρχαις οἱ ἀπόστολοι, καὶ οἱ τῶν ἀποστόλων διάδοχοι· καὶ εἴπου τις καὶ ἐν ἐκείνοις τοῦ προσήκοντος ἀποσφαλείη, παρὰ τῶν ὁμοταγῶν ἁγίων ἐπανορθωθήσεται. Εἶτα οὗτος μὲν συγγεγονὼς τοῖς ἀποστόλοις, καὶ ἀκριβῶς εἰδὼς τὰ τοῦ καιροῦ ἐκείνου τοὺς τῶν ἀποστόλων διαδόχους ὁμοταγεῖς εἶναι φησί, καὶ ὑπ' ἀλλήλων ἐπανορθοῦσθαι· σὺ δὲ πάντων ἄρχειν τὸν πάπαν κελεύεις, καὶ τοὺς μὲν ἄλλους αὐτὸν ἐπανορθοῦν, αὐτὸν δὲ ὑπ' οὐδενός, καὶ πράττοντα ὁποιοῦν καὶ δογματίζοντα;

Διονυσ.

ΚΕΦΑΛΑΙΟΝ Δ.

Μάλιστα δὲ φανερὸν ὅτι ὕστερον ὑπὸ τῶν ἁγίων πατέρων καὶ τῶν εὐσεβεστάτων βασιλέων πρῶτος θρόνος ἐγένετο ὁ Ῥώμης, καὶ ἐξ ὧν αὐτοὶ τοῦτο ἐνομοθέτησαν· εἰ γὰρ ἦν, πρότερον πρῶτος, καὶ ὁ ἐπίσκοπος Ῥώμης ποιμὴν οἰκουμένης ἦν, καταστὰς ὑπὸ τοῦ θείου Πέτρου· οὐκ ἂν οἱ θειότατοι βασιλεῖς Κωνσταντῖνος τε καὶ Ἰουστινιανός, ὡς αὐτοὶ κύριοι ὄντες τοῦ πράγματος, νομοθετοῦντες ἔλεγον, Θεσπίζομεν ἵνα ὁ ἐπίσκοπος Ῥώμης πρῶτος ᾖ πάντων τῶν ἱερέων· πρῶτον μὲν ὅτι οὐκ ἔδει νόμου, εἶτα ἔδοξαν ἂν ἀσεβεῖν, τὴν τοῦ Πέτρου ἐξουσίαν καὶ νομοθεσίαν εἰς ἑαυτοὺς ἐφελκόμενοι, καὶ ὅπερ ἐκεῖνος πρὸ τοσούτων χρόνων ἦν νομοθετήσας, τοῦτο αὐτοὶ σπουδάζειν ἀπαυθαδιζόμενοι.

Κωνσαντ. Ἰυστινια.

ΚΕΦΑΛΑΙΟΝ Ε.

Τελευταία δὲ τοῦ λόγου ἀπόδειξις, πρὸς ἣν οὐδεὶς ἀντειπεῖν ἂν ἔχοι τῶν δεχομένων τοὺς ἱεροὺς κανόνας, ὁ εἰκοστὸς ὄγδοος κανὼν τῆς τετάρτης Συνόδου· ὅς φησι, Πανταχοῦ τοῖς τῶν ἁγίων πατέρων ὅροις ἑπόμενοι, καὶ τὸν ἀρτίως ἀναγνωσθέντα κανόνα τῶν ἑκατὸν πεντήκοντα θεοφιλεστάτων ἐπισκόπων γνωρίζοντες· τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζομέν τε καὶ ψηφιζόμεθα περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης ἐκκλησίας Κωνσταντινουπόλεως νέας

Συνόδ. δ.

Ῥώμης

Ῥώμης· καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκεί-
νην, οἱ πατέρες εἰκότως ἀποδεδώκασι τὰ πρεσβεῖα. καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ
ἑκατὸν πεντήκοντα θεοφιλέστατοι ἐπίσκοποι, τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῷ τῆς νέας Ῥώμης
ἁγιωτάτῳ θρόνῳ· εὐλόγως κρίνοντες τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν, καὶ τῶν
ἴσων ἀπολαύουσαν πρεσβείων τῇ πρεσβυτέρᾳ βασιλίδι Ῥώμῃ· καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς
ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασι, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν· σαφῶς ἄρα
ἐνταῦθα ὁ κανὼν διαγορεύει καὶ ὑπό τινος ἐγένετο πρώτη ἡ τῆς Ῥώμης καθέδρα, καὶ τὴν αἰτίαν,
ὅτι ὑπὸ τῶν πατέρων, καὶ διὰ τὸ εἶναι τὴν πόλιν βασιλεύουσαν.

ΚΕΦΑΛΑΙΟΝ ς'.

ΠΕρὶ δὲ τῶν πρεσβείων τοῦ τῆσδε τῆς μεγαλοπόλεως θρόνου, ὁ μὲν τρίτος κανὼν τῆς
δευτέρας συνόδου ὁ παρὼν ἐμνήσθη, καὶ φησί, Τὸν μέντοι Κωνσταντινουπόλεως ἐπίσκο-
Συνοδ. β. πον, διὰ τὸ εἶναι αὐτὴν νέαν Ῥώμην, ἔχειν τὰ πρεσβεῖα τῆς τιμῆς μετὰ τὸν τῆς Ῥώμης
ἐπίσκοπον. ὁ δὲ τριακοστὸς ἕκτος τῆς ἕκτης φησίν, Ἀνανεούμενοι τὰ παρὰ τῶν ἑκατὸν πεντή-
Συνοδ. ς. κοντα ἁγίων πατέρων τῶν ἐν τῇ θεοφυλάκτῳ ταύτῃ καὶ βασιλίδι πόλει συνελθόντων, καὶ τῶν
ἑξακοσίων τριάκοντα τῶν ἐν Χαλκηδόνι συνελθόντων νομοθετηθέντα, ὁριζόμεθα ὥστε τὸν
Κωνσταντινουπόλεως θρόνον, τῶν ἴσων ἀπολαύειν πρεσβείων τοῦ τῆς πρεσβυτέρας Ῥώμης θρό-
νου, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς, ὡς ἐκεῖνον, μεγαλύνεσθαι πράγμασι, δεύτερον μετ' ἐκεῖ-
νον ὑπάρχοντα, μεθ' ὃν ὁ τῆς Ἀλεξανδρέων μεγαλοπόλεως ἀριθμείσθω θρόνος· εἶτα ὁ
τῆς Ἀντιοχέων· καὶ μετὰ τοῦτον ὁ τῆς Ἱεροσολυμιτῶν πόλεως. τῇ δὲ ἑκατοστῇ τριακοστῇ
Ἰουστινιαν. πρώτῃ νεαρᾷ τοῦ εὐσεβεστάτου βασιλέως Ἰουστινιανοῦ οὕτω φησί. Θεσπίζομεν τὸν ἁγιώτατον
τῆς πρεσβυτέρας Ῥώμης πάπαν πρῶτον εἶναι πάντων τῶν ἱερέων· τὸν δὲ μακαριώτατον
ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως νέας Ῥώμης, δευτέραν τάξιν ἐπέχειν μετὰ τὸν ἁγιώτα-
τον θρόνον τῆς πρεσβυτέρας Ῥώμης· τῶν δὲ ἄλλων πάντων προτιμᾶσθαι· τῷ μὲν οὖν
ἀξιώματι ἴσον εἶναι ἐνομοθέτησαν, καὶ ὡς ἐκεῖνον ἐν τοῖς ἐκκλησιαστικοῖς μεγαλύνεσθαι πράγ-
μασι· τῇ τάξει δέ, δεύτερον. οὐχ οὕτω δὲ δεύτερον, ὥστε ὑπ' ἐκείνου χειροτονεῖσθαι· οὔτε γὰρ
ἐκεῖνος, οὔτε ἄλλος τις τῶν πατριαρχῶν ὑπὸ τοῦ πάπα ἐχειροτονεῖτο· τῆς μὲν γὰρ χειροτο-
νίας τῶν ἐπισκόπων τοὺς ἐν ἑκάστοις μητροπολίτας ἔχειν τὸ κῦρος· τούτους δὲ ὑπὸ τῶν πα-
τριαρχῶν χειροτονεῖσθαι, ὑφ' ὃν ἕκαστος ἀνήγετο θρόνος, οἱ νόμοι ἐθέσπισαν. πατριάρχας
δὲ ὑπὸ τοῦ πάπα χειροτονεῖσθαι, οὐδεὶς νόμος ἐκέλευσεν· ἢ σύ γε λαβὼν ἐν χερσὶ τοὺς
ἱεροὺς κανόνας τῶν τε θείων ἀποστόλων καὶ τῶν ἁγίων ἑπτὰ οἰκουμενικῶν συνόδων, ἀνάγνωθι
τούτους ἐπιμελῶς. καὶ εἴπου εὕρῃς κανόνα διορίζόμενον ὅτι δεῖ τὸν πάπαν τὸ κῦρος ἔχειν
τῆς τῶν πατριαρχῶν χειροτονίας, δεῖξον ἡμῖν τοῦτο, καὶ νενίκηκας· εἰ δὲ τοῦτο οὐκ ἄν ποτε
ἔχοις εὑρεῖν, ἐκ ποίας ἀνάγκης δεξόμεθα, ἅπερ ἐξ οἰκείας σὺ φῂς διανοίας; ἔπειτα
τίς ὁ λόγος τοῦ τῶν Ἱεροσολύμων ἐπισκόπους ὑπὸ τοῦ πάπα χειροτονεῖσθαι; οὔτε γὰρ ὁ ἀδελ-
φόθεος Ἰάκωβος ὑπὸ τοῦ Πέτρου κεχειροτόνηται, οὔτε τὸν τούτου διάδοχον εὔλογον μὴ ἄλ-
λον εἶναι, εἰ μὴ τοῦτον ὁ πάπας χειροτονήσειεν.

ΚΕΦΑΛΑΙΟΝ Ζ.

ΕΚεῖνο δὲ πῶς ὑμᾶς λέληθεν, ὅτι ὥσπερ τὸν τῆς νέας Ῥώμης ἐπίσκοπον δεύτε-
ρον τῇ τάξει ἀπὸ τοῦ πάπα οἱ κανόνες ὡρίσαντο· οὕτω δὴ καὶ τὸν Ἀλεξανδρείας δεύ-
τερον αὖ μετὰ τοῦτον ἐθέσπισαν, καὶ καθεξῆς τὸν Ἀντιοχείας μετὰ τὸν Ἀλεξανδρείας, καὶ μετὰ
τόνδε τὸν τῶν Ἱεροσολύμων· εἰ τοίνυν τὸν τῆς νέας Ῥώμης ἐπίσκοπον ἀναγκαῖον ὑπὸ τοῦ

πάπα

πάπα χειροτονεῖσθαι διὰ τὸ δευτέραν μετ' ἐκεῖνον τάξιν ἐπέχειν· καὶ καθεξῆς ἂν εἴη δέον ὧδ' ἕκαστον τῶν πατριαρχῶν, τὸν πρῶτον ἀεὶ τοῦ μετ' αὐτὸν τὴν χειροτονίαν ἔχειν ἐπ' ἐξουσίας. ἀλλὰ τοῦτο οὐδέποτε οὕτως ἐγίνετο, καὶ μὴν οὐδὲ γίνεται. παράστασις δὲ σαφὴς τῶν εἰρημένων ἡ ἄνωθεν κρατήσασα συνήθεια. ἕκαστος γὰρ τῶν πατριαρχῶν ἐψηφίζετο μὲν ὑπὸ τῶν οἰκείων ἐπισκόπων· ἐχειροτονεῖτο δὲ ὑφ' ἑνὸς αὐτῶν. ὅθεν καὶ μέχρι τῆς σήμερον οὕτω γίνεται. ἔτι ὁ μὲν ἡμέτερος πατριάρχης, ὑπὸ τοῦ μητροπολίτου Ἡρακλείας· ὁ δὲ Ἱεροσολύμων, ὑπὸ τοῦ Καισαρείας. ὁμοίως καὶ οἱ λοιποί.

ΚΕΦΑΛΑΙΟΝ Η.

Δίκαιον δὲ ἡγούμεθα, καὶ ὑμεῖς τοῦτ' αὖ ὁμολογήσαιτε, ὅτι εἴπερ ὁ Χριστὸς ἡμᾶς εἰρηνοποίησε λύσας τὴν ἔχθραν· τοσοῦτον λόγον ἔχειν τὸν πάπαν πρὸς τοὺς πατριάρχας, ὃν εἶχε καὶ ἐν τῷ καιρῷ ὅτε ὑπήρχομεν ἡνωμένοι. εἰ τοίνυν τότε οὐδεὶς οὐδένα ἐχειροτόνει, οὐδὲ συνήθεια ἦν ὥστε τοὺς πατριάρχας ὑπὸ τοῦ πάπα χειροτονεῖσθαι· πῶς ὅπερ οὐδέποτε εἴχετε, νῦν ὡς ἀπαραίτητον ἀπαιτεῖτε; οὔτε νόμιμον ἄρα, οὔτε εὔλογον, οὔτε συνήθες, τοὺς πατριάρχας ὑπὸ τοῦ πάπα χειροτονεῖσθαι.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Πῶς οὖν ὁ πάπας πρῶτος τῶν ἄλλων, εἰ οὐκ αὐτὸς χειροτονεῖ αὐτούς; πῶς ὁ μακάριος Πέτρος, οὗ φῂς διάδοχον τὸν πάπαν, πρῶτος τῶν ἄλλων ἀποστόλων, εἴπερ οὐκ αὐτὸς ἐκείνους ἐχειροτόνησεν; ἐγὼ μὲν οὖν τοὺς κανόνας προχειριζόμενος, τοῦτο πλέον τῶν ἄλλων εὑρίσκω τὸν πάπαν ἔχοντα τότε, τὸ πρωτοκαθεδρίας ἀξιοῦσθαι, καὶ πρῶτον ἀδελφὸν ὀνομάζεσθαι, καὶ ἐν ταῖς μυστικαῖς εὐχαῖς τῆς θείας λειτουργίας πρῶτον ἐκείνου μιμνήσκεσθαι· εἰ δὲ σὺ πλέον τούτου ἔχοις εἰπεῖν, δεῖξον τοῦτο ἐκ τῶν ἱερῶν κανόνων, καὶ οὐκ ἀντιλέξομεν. ὃ δὲ οὐδεμία τῶν οἰκουμενικῶν συνόδων περὶ τοῦ θρόνου τῆς Ῥώμης ἐνομοθέτησε, τοῦτο ὁ ἑπτακαιδέκατος κανὼν τῆς τετάρτης συνόδου τὸν τῆς νέας Ῥώμης θρόνον ἔχειν ἐδικαίωσεν· Ἵνα δηλονότι καθ' ἑκάστην ἐπαρχίαν εἴ τις ἐπίσκοπος ἀδικοῖτο παρὰ τοῦ ἰδίου μητροπολίτου, παρὰ τῷ ἐξάρχῳ τῆς διοικήσεως δικάζηται, ἢ τῷ τῆς Κωνσταντινουπόλεως θρόνῳ.

Σύνοδ. δ.

ΚΕΦΑΛΑΙΟΝ Ι.

Ἀλλὰ μὴν οὐδ', ὡς ἄν τις ὑπολάβοι, ὁ κατὰ καιρὸν πάπας ἐξῆρχε τῶν οἰκουμενικῶν συνόδων, οὐδ' αὐτὸς αὐταῖς ἐνομοθέτει· ἀλλ' αὐτὸς μὲν καὶ ἡ περὶ αὐτὸν ἐκκλησία, μέρος ἦν τῆς ὅλης συνόδου· ἡ δὲ σύνοδος ὥσπερ ταῖς ἄλλαις, οὕτω δὴ καὶ τῇ τῆς Ῥώμης ἐκκλησίᾳ ἐνομοθέτει. Ἐπειδὴ γάρ, φησὶν ἐν τῇ Ῥωμαίων ἐκκλησίᾳ ἐν τάξει κανόνος παραδεδόσθαι διέγνωμεν, τοὺς μέλλοντας διακόνου ἢ πρεσβυτέρου ἀξιοῦσθαι χειροτονίας, καθομολογεῖν ὡς οὐκέτι ταῖς αὐτῶν συνάπτονται γαμεταῖς· ἡμεῖς, τῷ ἀρχαίῳ ἀκολουθοῦντες κανόνι τῆς ἀποστολικῆς ἀκριβείας καὶ τάξεως, τὰ τῶν ἱερῶν ἀνδρῶν κατὰ νόμους συνοικέσια καὶ ἀπὸ τοῦ νῦν ἐρρῶσθαι βουλόμεθα, μηδαμῶς αὐτῶν τὴν πρὸς γαμετὰς συνάφειαν διαλύοντες, ἢ ἀποστεροῦντες αὐτοὺς τῆς πρὸς ἀλλήλους κατὰ καιρὸν τὸν προσήκοντα ὁμιλίας. ὁ δὲ πενθέκτης πέμπτος φησίν, Ἐπειδὴ μεμαθήκαμεν τοὺς ἐν τῇ Ῥωμαίων πόλει ἐν ταῖς ἁγίαις τῆς τεσσαρακοστῆς νηστείαις τοῖς ταύτης σάββασι νηστεύειν παρὰ τὴν παραδοθεῖσαν ἐκκλησιαστικὴν ἀκολουθίαν, ἔδοξε τῇ ἁγίᾳ συνόδῳ, ὥστε κρατεῖν καὶ ἐπὶ τῇ Ῥωμαίων ἐκκλησίᾳ ἀπαρασαλεύτως τὸν κανόνα τὸν διαγορεύοντα, Εἴ τις κληρικὸς εὑρεθείη τῇ ἁγίᾳ κυριακῇ νηστεύων, ἢ τὸ σάββατον, πλὴν τοῦ ἑνὸς καὶ μόνου, καθαιρείσθω· εἰ

Σύνοδ. ς. περὶ τῶν ἱερέων.

Ἡ αὐτὴ περὶ τοῦ σαββάτου.

ἢ λαϊκὸς, ἀφοριζέσθω. ἐκ τούτων ἄρα τῶν κανόνων δῆλον, ὡς αἱ σύνοδοι καὶ κατὰ τῆς ἐκκλησίας τῆς Ῥώμης ἐνομοθέτουν.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ.

Ὅτι ἢ μόνας τὰς δυτικὰς ἐκκλησίας ὑπὸ τοῦ πάπα οἰκονομεῖσθαι οἱ θεῖοι πατέρες διετάξαντο, τὰς δὲ λοιπὰς ἄλλας ὑπ' ἄλλον ἀνάγκη πατριάρχην, καὶ μὴ ἐξεῖναι τινὰ ἐπὶ τὴν ἐνορίαν τὴν μὴ αὐτῷ προσήκουσαν, τί χρὴ καὶ λέγειν, τοσούτων κανόνων ταῦτα διοριζομένων; πλὴν, τοὺς ἄλλους ἀφεὶς, ἀνάγνωθι τὸν ἕκτον καὶ ἕβδομον κανόνα τῆς πρώτης συνόδου, καὶ τὸν δεύτερον τῆς δευτέρας, καὶ τὸν εἰκοστὸν ὄγδοον τῆς τετάρτης, καὶ γνώσῃ σαφῶς ὃ νῦν εἶπον.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ.

Ἀλλ' ἢ μὲν οὐδὲ ἐφεῖται τινὶ τῶν πατριαρχῶν ἢ τῶν μητροπολιτῶν ἢ τῷ πάπᾳ δογματίζειν, ἢ καινόν τι ποιεῖν ἄνευ τῆς γνώμης πάντων τῶν ὑπ' αὐτὸν, πολλῶν μὲν καὶ ἄλλων τοῦτο κελευόντων κανόνων, ἰδίως δὲ τριακοστοῦ τετάρτου τῶν ἀποστόλων· ὅς φησι,

Ἀποστόλ. κανὼν. λδ.

« Τοὺς ἐπισκόπους ἑκάστου ἔθνους εἰδέναι χρὴ τὸν ἐν αὐτοῖς πρῶτον, καὶ ἡγεῖσθαι αὐτὸν ὡς κεφαλὴν, καὶ μηδέν τι πράττειν περιττὸν ἄνευ τῆς ἐκείνου γνώμης· ἐκεῖνα δὲ μόνα πράττειν ἕκαστον, ὅσα τῇ αὐτοῦ παροικίᾳ ἐπιβάλλει καὶ ταῖς ὑπ' αὐτὴν χώραις. ἀλλὰ μηδ' ἐκεῖνος ἄνευ τῆς πάντων γνώμης ποιείτω τι. οὕτω γὰρ ὁμόνοια ἔσται, καὶ δοξασθήσεται ὁ Θεὸς διὰ κυρίου Ἰησοῦ Χριστοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ.

Σὺ δὲ ἃ μὲν περὶ τῶν πρωτονομίων τοῦ τῆς παλαιᾶς Ῥώμης θρόνου διέθεντο οἱ πατέρες, ἄνω καὶ κάτω περιβάλλεις, καὶ ἀσέβειαν τῶν ὅπως δήποτε ἀνθισταμένων καταγινώσκεις· ἃ δὲ οἱ αὐτοὶ περὶ τῆς ἰσοτιμίας τοῦ τῆς νέας Ῥώμης θρόνου, οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις ἐθέσπισαν, οὐδ' εἰς οὐδένα λογίζῃ. καὶ ὅτι μὲν τὸν πάπαν πρῶτον εἶναι τῶν ἄλλων ἐδικαίωσαν, ἐπιμελῶς ἔγνως· ὅτι δὲ τὸν τῆς νέας Ῥώμης ἐπίσκοπον τῶν ἴσων ἀξιοῦσθαι ἐκείνῳ πρεσβείων, καὶ ὡς ἐκεῖνον ἐν τοῖς ἐκκλησιαστικοῖς μεγαλύνεσθαι πράγμασιν, ἐνομοθέτησαν, ἑκὼν παρατρέχεις· καὶ ποῖα ταῦτα, ὦ πρὸς Θεοῦ, δικαιοσύνης ἐχόμενα; ἐγὼ μὲν οὖν οὐκ ἄν ποτε περὶ ὑμῶν φθέγξασθαί τι βλάσφημον προαχθείην· εἰ δέ τις, ᾧ τινι δήπου ὑμῶν βραχύ δή τι καὶ μέλει, φιλαρχίαν κατηγορήσειε, πλεονέκτας τε καὶ ὑπερηφάνους ἀποκαλῶν, τί δήπου πρὸς τοῦτον ἀπολογήσεσθε; Εἰ τοίνυν ὁ πάπας οὔτε τῆς τῶν πατριαρχῶν χειροτονίας τὸ κῦρος ἔχει, οὔτε ἔξεστιν αὐτῷ ἄνευ τῆς πάντων γνώμης τι καινὸν δογματίζειν, καὶ τὸν ἡμέτερον πατριάρχην τῶν αὐτῶν ἀξιοῦσθαι πρεσβείων, καὶ εἰς ἐκεῖνον ἐν τοῖς ἐκκλησιαστικοῖς μεγαλύνεσθαι πράγμασιν οἱ θεῖοι νόμοι διακελεύονται, πῶς ἡμᾶς ὑπακούειν καὶ πείθεσθαι τῷ πάπᾳ ἀναγκάζετε, οὓς ὑπὸ τῶν ἁγιωτάτων ἡμῶν πατριαρχῶν ποιμαίνεσθαι νόμος; εἶτα πῶς αὐτῷ πείθεσθαι οὐ κελεύεις, ἀκίνητα φυλάττοντι τὰ τῶν θείων πατέρων θεῖα, καὶ μηδὲν τῶν θείων δογμάτων παρακελεύοντι ἢ τοὐναντίον; ἀλλὰ μηδέποτε γένοιτ' ἂν ἡμᾶς εἰς τοσοῦτον ἐληλακέναι μανίας, ὥστε ὀρθόδοξον ὄντα καὶ πανταχοῦ τῶν πατέρων στοιχοῦντα, ἀποστερῆσαι αὐτὸν τῆς τιμῆς, ἣν οἱ πατέρες αὐτῷ δεδώκασιν· εἰ δὲ τῶν θείων παραβάτης εἴη νόμων τε καὶ δογμάτων, τί ζημίαν ἡγεῖσθε εἰ μὴ καὶ ἡμεῖς σὺν ὑμῖν ἀπολλύμεθα; εἰ δὲ καὶ αἱρετικὸν ὄντα καὶ παραδογματίζοντα οὐδὲν κωλύειν φατὲ καὶ οὕτω διάδοχον εἶναι τοῦ Πέτρου, καὶ τὰς κλεῖς τῆς τῶν οὐρανῶν βασιλείας ἔχειν, οὐκ ἀντιλέγομεν· διάδοχος μὲν ἔσται, ἀλλ' ὡς νόσος ὑγιείας, καὶ ζάλη γαλήνης, καὶ σκότος φωτός· κλεῖς δὲ τῆς οὐρανῶν βασιλείας ἕξει,

οὐ τὰς

οὐ τὰς ἀνοιγούσας, ἀλλὰ τὰς κλειούσας καὶ μηδένα εἰσιέναι παρακελευούσας τῶν αὐτῷ ἑπομένων.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄.

ΦΡΑΓΚΙΣΚΟΣ. ἀλλ᾽ ἀδύνατον τὸν πάπαν αἱρετικὸν εἶναι. ΒΑΡΛΑΑΜ. τί φῂς ἄνθρωπε; νεκρὸν βλέπω, καὶ λέγεις μοι ὅτι ἀδύνατον ἀποθανεῖν; ΦΡΑΓΚΙΣΚΟΣ. ἀλλὰ πατριάρχαι μὲν πολλοὶ ἐν τοῖς ἀρχαίοις χρόνοις αἱρετικοὶ ἐγένοντο, πάπας δὲ οὐδὲ εἷς. ΒΑΡΛΑΑΜ. οὐκοῦν λεγέτωσαν καὶ οἱ περὶ Μακεδόνιον ὅτι ἐπειδὴ μετ᾽ αὐτοῦ ἐπίσκοπός τις Κωνσταντινουπόλεως αἱρετικὸς οὐκ ἐγένετο, οὐδ᾽ αὐτὸς ἄρα. ἢ μᾶλλον, ἵνα οἰκειοτέρῳ χρήσωμαι παραδείγματι, εἴ τις ὑπὲρ τοῦ ἀκολάστου ἐθέλοι ἐκείνου γυναίου τοῦ γενομένου πάπα ἀπολογεῖσθαι λεγέτω, ὅτι ἐπειδὴ τῶν μετ᾽ αὐτῆς οὐδεὶς γυνὴ ἦν, οὐδ᾽ αὐτὴ ἄρα· καὶ πῶς ταῦτα στερρὸς λογισμός;

ΚΕΦΑΛΑΙΟΝ ΙΕ.

Επεὶ δὲ εἰς ἐκκλησίαν Ῥωμαϊκὴν καὶ πίστιν Ῥωμαϊκὴν καὶ αὐτοὺς πιστεύειν ὁμολογεῖτε, καὶ τοὺς ἄλλους οὕτω πιστεύειν ἀναγκάζετε, δεῖ καὶ περὶ τούτων διαλαβεῖν. διαφέρει παρὰ τοῖς ἁγίοις πατράσιν ἡμῶν, ἐκκλησίαν Ῥωμαϊκὴν εἰπεῖν, καὶ Καθολικὴν ἐκκλησίαν. Καθολικὴν μὲν γὰρ ἐκκλησίαν λέγοντες, τὸ σύστημα νοοῦσι τῶν ἁπανταχοῦ τῆς οἰκουμένης ὀρθοδόξων Χριστιανῶν, τῶν ἀκίνητα καὶ ἀσάλευτα τὰ τῆς εὐσεβείας δόγματα διατηρούντων. Ῥωμαϊκὴν δὲ ἐκκλησίαν ὅταν εἴπωσι, πρὸς ἀντιδιαστολὴν τῶν ἄλλων κατὰ τὴν οἰκουμένην μερικῶν ἐκκλησιῶν τοῦτο λέγουσι, καθάπερ ὁ εἰκοστὸς τέταρτος κανὼν τῆς ἐν Καρθαγένῃ συνόδου, οὕτω λέγων· Ἤρεσεν ὥστε περὶ τῆς διχονοίας τῆς Ῥωμαϊκῆς καὶ Ἀλεξανδρινῆς ἐκκλησίας πρὸς τὸν ἁγιώτατον πάπαν Ἰννοκέντιον γραφῆναι, ὅπως ἑκατέρα ἐκκλησία πρὸς ἀλλήλας εἰρήνην φυλάξωσιν, ἣν ὁ κύριος παραγγέλλει. Οὐδεὶς δὲ ἀντὶ τοῦ εἰπεῖν Καθολικὴν ἐκκλησίαν, Ῥωμαϊκὴν ποτὲ εἶπεν. τὸν αὐτὸν δὴ τρόπον, καὶ πίστιν Καθολικὴν ὅταν λέγωσι, ταύτην νοοῦσιν, ἣν ἅπαντες οἱ ὀρθόδοξοι Χριστιανοὶ ὁμολογοῦσιν, ὅπουπερ ἂν τυγχάνοιεν. πίστιν δὲ Ῥωμαϊκὴν τὴν τῶν Χριστιανῶν πίστιν, οὐδεὶς οὐ μανεὶς εἶπεν. ἐνομοθέτησαν δὲ οὐκ εἰς Ῥωμαϊκὴν ἢ πίστιν ἢ ἐκκλησίαν, ἀλλ᾽ εἰς Καθολικὴν ἢ κοινὴν καὶ πίστιν καὶ ἐκκλησίαν ἡμᾶς πιστεύειν· ἣν πίστιν καὶ ὁμολογίαν καὶ ἐφυλάξαμεν, καὶ εἰς τέλος, Θεοῦ φρουροῦντος ἡμᾶς, φυλάξομεν· ἢ ποῖος μάρτυς τυράννῳ ποτὲ παρεστὼς, ἢ αἱρετικὸς ἐκ πλάνης ὁδοῦ αὐτοῦ ἐπιστρέφων, ἐν τῇ τῆς πίστεως ὁμολογίᾳ εἶπέ τι τοιοῦτον, ὅτι Πιστεύω εἰς Ῥωμαϊκὴν ἢ πίστιν ἢ ἐκκλησίαν; τίς δὲ τοιαύτην ὁμολογίαν ἀπῄτησέ ποτέ τινα, τὴν ἡμετέραν ἀναιρουμένην γε εὐσέβειαν; οὔτ᾽ οὖν ἡμᾶς δίκαιον εἰς Ῥωμαϊκὴν ἐκκλησίαν φάναι πιστεύειν, οὔθ᾽ ὑμᾶς εἰς Καθολικήν. ἡμᾶς μὲν γὰρ, ἅτε τοῖς τῆς καθολικῆς ἐκκλησίας ἐμμένοντας νόμοις, καὶ σώας καὶ ὁλοκλήρους τὰς ἐκείνης παραδόσεις φυλάττοντας, ἀναγκαιότατον εἰς αὐτὴν πιστεύειν ὁμολογεῖν, ἧς καὶ τὰ δόγματα διατηροῦντες τυγχάνομεν. ὑμεῖς δὲ οἱ τὰς τῆς καθολικῆς ἐκκλησίας παραδόσεις ἀθετήσαντες, καὶ ταύτας εἰς οὐδὲν θέμενοι, ξένα τινὰ καὶ ἀλλότρια ἀντεισαγάγετε δόγματα· πῶς ἂν εἴητε δίκαιοι ἣν ἠθετήσατε ἐκκλησίαν, εἰς ταύτην αὖθις πιστεύειν ὁμολογεῖν; ἀναγκαῖον ἄρα πρὸς ἀντιδιαστολὴν ταύτης τὴν Ῥωμαϊκὴν ἐκκλησίαν προβάλλεσθαι. οὕτω γὰρ ἂν δεικνύοιτε φανερῶς, τῆς καθολικῆς παντάπασιν ἐκκλησίας ἐκπεπτωκέναι. τὰ μὲν γὰρ κοινῇ ἁπάσῃ τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ νομοθετηθέντα ὑπό τε τῶν θείων ἀποστόλων καὶ τῶν ἁγίων πατέρων ἡμῶν, αἰσχυνόμενοι, καὶ ὑπὸ τοῦ συνειδότος ἐλεγχόμενοι, φυλάττειν ὁμολογεῖτε. ἂν δέ τις ὑμᾶς ἔρηται, πῶς τὸν δεῖνα ἢ τὸν δεῖνα παραβαίνετε νόμον;

« Συνόδ.
« Καρθα-
« γέν.
«

ἐπὶ

ἐπὶ τὴν ἐξουσίαν εὐθὺς, ὡς ἐπ' ἀκρόπολίν τινα, καταφεύγετε· ὅμοιόν τι τοῖς τυράννοις ποιοῦντες, οἳ λόγῳ πείθειν ἀποροῦντες τοὺς μάρτυρας, δρᾶν εἰς αὐτοὺς διὰ τῆς ἐξουσίας οὐκ ὀκνοῦσι τὰ χείριστα. ταῦτα μὲν ἄλις.

ΚΕΦΑΛΑΙΟΝ ις.

ΔΕῖ δὲ με ἀνακεφαλαιωσάμενον τὰ διὰ πλειόνων δεδειγμένα, τέλος ἐπιθεῖναι τῷ
α. λόγῳ. Πρῶτον μὲν οὖν ἀπέδειξα, ὅτι ἕκαστος τῶν ἁγίων ἀποστόλων καθολικὸς ποιμήν
β. τε καὶ διδάσκαλος τῆς οἰκουμένης ἁπάσης ἀμέσως ὑπὸ τοῦ δεσπότου Χριστοῦ προεβλήθη. Δεύ-
τερον, ὅτι ὁ μακάριος Κλήμης οὐ τῆς οἰκουμένης ἐπίσκοπος, ἀλλ' ἰδίως τῆς Ῥώμης,
ὥσπερ ἄλλος ὑπὸ τοῦ κορυφαίου κεχειροτόνηται, καὶ οὔτε πρῶτος οὔτε ἔσχατος ὁ Ῥώμης
τὸν θρόνον, ὑπό τε τῶν ἁγίων πατέρων ἡμῶν καὶ τῶν εὐσεβεστάτων βασιλέων νομοθεσίαις
γ. πρῶτος ἐγένετο. Τρίτον, ὅτι καὶ τὸν τῆς νέας Ῥώμης θρόνον καὶ ὡς ἐκεῖνον ἐν τοῖς ἐκ-
δ. κλησιαστικοῖς μεγαλειωδῶς ἐθέσπισαν πράγμασι. Τέταρτον, ὅτι οὔτε νόμος τις κελεύει, οὔτε
συνήθεια κεκράτηκε τοὺς πατριάρχας ὑπὸ τοῦ πάπα χειροτονεῖσθαι, καὶ μὴν οὐδὲ ἐγένετο.
ε. Πέμπτον, ὅτι οὐκ ἐξῆρχεν ὁ πάπας τῶν συνόδων, ἀλλ' αἱ σύνοδοι καὶ τῇ περὶ αὐτὸν ἐκ-
ς. κλησίᾳ ἐνομοθέτουν. Ἕκτον, ὅτι διεκρίθη ὑπὸ τῶν θείων πατέρων ἡμῶν τίνας τῶν κατὰ
τὴν οἰκουμένην ἐκκλησιῶν ὑποκεῖσθαι δεῖ τῷ πάπᾳ, καὶ τίνας ἑκάστῳ τῶν λοιπῶν πατρι-
ζ. αρχῶν. Ἕβδομον, ὅτι οὐκ ἔξεστι τινὶ τῶν πατριαρχῶν ἢ τῷ πάπᾳ περιττόν τι δογματίζειν
η. ἄνευ τῆς πάντων γνώμης. Ὄγδοον, ὅτι ἐμμένοντι μὲν τῷ πάπᾳ τοῖς τῶν πατέρων δόγμασι
χρὴ ἀπονέμειν αὐτῷ τοσαύτην τιμὴν, ὅσην οἱ κανόνες διορίζονται. δίκαιον γὰρ μὴ ἐμμέ-
θ. νοντα, φεύγειν αὐτὸν ὡς λύκον καὶ λυμεῶνα τῆς ἐκκλησίας. Ἔννατον, ὅτι εἰς τὴν καθολι-
κὴν ἐκκλησίαν καὶ πίστιν πιστεύειν δεῖ τοὺς Χριστιανοὺς, καὶ οὐκ εἰς μερικήν· οὕτω γὰρ ἐξ ἀρ-
ι. χῆς νενομοθέτητο. Δέκατον ἐπὶ πᾶσιν, ὅτι μέρος ἀποκεκομμένον τῆς ὁλότητος τῆς κα-
θολικῆς ἐκκλησίας ἐστὶ καὶ νενεκρωμένον οἱ τὰς τῶν ἁγίων ἀποστόλων καὶ τῶν θείων πατέ-
ρων ἡμῶν ἀθετήσαντες παραδόσεις, καὶ εἰς μερικὴν ἐκκλησίαν καὶ πίστιν πιστεύειν ὁμολο-
γοῦντες. οἷς δὲ οὐδὲν οὐδέπω τῆς καθολικῆς ἐκκλησίας παραδόσεως νενόμισται προτιμότερον,
οὗτοι δήπου τὸ ὑγιαῖνον ὑπάρχουσι μέρος, οἷς καὶ μόνοις εἰκὸς εἰς ἐκκλησίαν καθολικὴν φάναι
πιστεύειν. Ταῦτα μὲν οὖν ἐγὼ δίκαιον ἐκεῖνα πρὸς τὴν σὴν ἀγάπην πέμψαι, παν-
ταχοῦ τῆς ἀληθείας φροντίσας, καὶ μηδὲν κατὰ πάθος εἰρηκώς. σὺ δὲ ταῦτα δεξά-
μενος καὶ ἀναγνοὺς, εἴ τι ἂν ἔχοις ἀντειπεῖν ἢ πᾶσιν ἢ τισὶν ἢ ἑνί
γε αὐτῶν· ἐχέτω τὴν πίστιν ὁ σὸς λόγος ἐξ ὧν εἴ-
πομεν ἀρχῶν, καὶ μακροθύμως ἀκου-
σόμεθά σου.

ΤΕΛΟΣ.

ΠΕΡΙ ΤΟΥ ΚΑΘΑΡΤΗΡΙΟΥ ΠΥΡΟΣ

ΒΙΒΛΙΟΝ Εν.

Εἰ μὲν περὶ ὧν ἀλλήλοις ἀμφισβητοῦμεν, αἰδεσιμώτατοι κύριοι καὶ πατέρες, νίκη μόνον ἦν τὸ προκείμενον, καὶ μηδενὸς ὁτουοῦν ἄλλου ἐποιούμεθα λόγον, ἢ τοῦ νικᾶν ἐκ παντὸς τρόπου ζητεῖν· οὔτ' ἂν ἐποιοῦμεν εἰκότα, οὔτ' ἂν ἀλλήλων δικαίως ἠνειχόμεθα δήπου. ἐπεὶ δὲ ἡμῖν τε πόνον ὑποστᾶσι κατὰ τὴν μακρὰν ταύτην ἀποδημίαν τοσοῦτον, ὑμῖν τε τοσόνδ' ὑπὲρ τῆς προκειμένης ἡμῶν συνελεύσεως προκαταβαλλομένοις σπουδῆς, οὐδὲν ἕτερον τὸ προκείμενον, ἢ τὴν ἀλήθειαν ἀναφανεῖσαν ἀμφοτέρους ἀσπάζεσθαι, καὶ εὐκταῖον ἡγήσασθαι ἕρμαιον· μεγάλη ἂν εἴη ἐλπίς, σὺν Θεῷ συλλήπτορι, πάντα πράξασι κατὰ νοῦν ἀμφοτέρους ἀπαλλάξαι ἀλλήλων. τούτου μὲν οὖν οὐκ ἐπὶ τοῦ προκειμένου νυνὶ τούτου ζητήματος ἐλπὶς ἔστι γενήσεσθαι μόνον, ἀλλὰ καὶ ἐπὶ πάντων ἴσως τῶν ἄλλων τῶν ἡμῖν ἀδυνάτων, δυνατῶν ὄντων πάντως τῷ κατὰ τὰ λόγια φᾶναι. ἀλλ' ἐκείνων μὲν εἵνεκα μέλει Θεῷ, καὶ μελήσει, τῷ, πολλῶν ὄντων οἷς ὀνομάζεται, μὴ ἀπαξιώσαντι καὶ ἀπὸ τῆς εἰρήνης κληθῆναι. πάντως οὐκ εἰς κενὸν ἡμᾶς τρέχειν ἀφήσει, οὐδὲ τὸν τοσοῦτον ἡμῶν ἀμφοτέρων ματαιώσει ἀγῶνα. ἀλλ' αὐτὸς γενόμενος σύνδεσμος καὶ λίθος ἀκρογωνιαῖος, συνάψει ἀλλήλοις ἡμᾶς τὰ διεστῶτα ἑαυτοῦ μέλη, καὶ ἀλλήλους ὡσεὶ ἓν ἅπαντας σῶμα, ὑπὸ μίαν κεφαλὴν ἑαυτὸν ἀπεργάσεται. περὶ οὗ δὲ προτεθέμεθα νυνὶ ζητήματος σκέψασθαι, περὶ τούτου τὰ νῦν ποιητέον λόγον, ὑπὸ Θεῷ ἡγεμόνι ἀρξαμένοις ἐντεῦθεν.

Πῦρ καθαρτήριον καὶ κόλασιν διὰ πυρὸς πρόσκαιρον καὶ τέλος ἔχουσαν ὅλως, ἡμεῖς ὑπὸ τῶν ἡμετέρων οὐ παρειλήφαμεν διδασκάλων, οὐδὲ τὴν τῆς ἀνατολῆς ἐκκλησίαν ἴσμεν φρονοῦσαν, ὡς καὶ ἄλλοτε εἴπομεν. τὰς μέντοι τῆς ἐκκλησίας ὑπὲρ τῶν τεθνεώτων εὐχὰς ἐπὶ τὰς πρόσθεν πρεσβείας ὑπὲρ αὐτῶν, ἀνύειν τι δύνασθαι, τοῦτο καὶ πάνυ τιθέμεθα, πιστεύοντες τοῖς ἀποφηναμένοις ὑπὲρ τούτου πατράσιν· ὅτι μὲν αἵ τε τῶν ἁγίων ψυχαί, καὶ μηδὲν αὐταῖς συνεπισπασάμεναι πονηρόν, τῆς αἰωνίου ζωῆς εἰσὶν ἄξιαι, αἵ τε τῶν καταχρησαμένων τῷ παρόντι βίῳ πρὸς ἀπόλαυσιν τῆς σαρκὸς καὶ τῶν αὐτῆς ἡδονῶν, καὶ μηδένα τοῦ καλοῦ λόγον πεποιημένων, αἰωνίου κολάσεως· τοῦτο μὲν φρονοῦμεν καὶ λέγομεν, καὶ ὑμᾶς οὕτω διελομένους τὸν λόγον ἐπαινοῦμέν τε καὶ θαυμάζομεν, καὶ τῷ Θεῷ χάριν ὁμολογοῦμεν ὧν ἠκούομεν περὶ ὑμῶν πρότερον, καταγνόντες ὡς οὐ καλῶς εἰρημένων. ὑφ' ὧν γὰρ καὶ εἴρητο ὅτι καὶ αἱ μέσως περ περὶ τὴν ἀρετὴν καὶ τὸ κακὸν ἔχουσαι, καί τινα (ὡς σῶμα περιβαλό-
μεναι

μένοι παθητὸν) ἐπισυρόμεναι ἁμαρτήματα μὴ θανάσιμα, οὔτε τῇ αἰωνίῳ ὑπάγοιντο ἂν δίκῃ (οὐ γὰρ ἄξιον τῇ θείᾳ φιλανθρωπίᾳ, ὥσπερ οὖν δοκεῖ καὶ ἡμῖν) οὔτε τῆς τοῦ Θεοῦ τεύξονται δόξης, μὴ καί τινα τίσαντες δίκην, ὧν δέον οὐκ ἐπετέλεσαν, καὶ τὸν ἐκεῖθεν ἀποθέμεναι μολυσμὸν, ἐν τούτῳ δὴ καθαρτηρίῳ πυρὶ, καθὼς ὑμεῖς ἐν τῇ περὶ τούτου ἀπολογίᾳ ἐξέθεσθε. ἐνταῦθα δὴ ἡ διαφορὰ, καὶ ταῦτα ἐστὶν ἃ οὐχ ὁμολογοῦμεν ὑμῖν. τὸ μὲν γὰρ μὴ τῆς αἰωνίου ταύτας ἀξίας εἶναι κολάσεως, καλῶς λέγεται, καὶ ἀντιφῆσαι οὐκ ἔστι· τὸ δὲ καὶ καθαρτηρίου ἐπιδεηθῆναι πυρὸς, τοῦτο πρόσκομμα γίνεται, καὶ περὶ τούτου διαφερόμεθα. περὶ τούτου καὶ δὴ ποιητέον τὸν λόγον, οὕτω αὐτὸ διελομένοις· τὰ περὶ τούτου ζητούμενα διχῇ μὲν διήρηται· θάτερον δὲ αὖθις τῶν δύο, τὴν εἰς δύο τομὴν καὶ διαίρεσιν ἐπιδέχεται.

Πρῶτον μὲν γὰρ ἐστὶ ζητητέον, εἰ τινῶν ἁμαρτιῶν ἄφεσις μετὰ θάνατον ἀνθρώποις παρὰ τοῦ κτίσαντος χορηγεῖται. δεύτερον δὲ, εἰ διὰ κολάσεως, ἢ ἁπλῶς τῇ θείᾳ φιλανθρωπίᾳ, καὶ ταῖς τῆς ἐκκλησίας ἐλεούμενος λιταῖς. εἰ δὲ διὰ κολάσεως, πότερον ἄλλης τινὸς καθάρσεως, οἷον εἱρκτῆς, ἢ ζόφου τε καὶ ἀνίας, ἢ καὶ ἐξ ἀνάγκης πυρὸς, καὶ τούτου σωματικοῦ, ὁποῖον ὑμεῖς διατείνεσθε. οὕτως οὖν τούτου διαιρουμένου, ἡμεῖς τῷ μὲν τελευταίῳ ἐπὶ τρίτῳ (τοῦτο δὲ ἐστὶ διὰ κολάσεως τῆς διὰ καθαρτηρίου πυρὸς) τὰς ψυχὰς διελθούσας ἐπὶ τὴν αἰώνιον ἀφικέσθαι ζωὴν, οὐ πειθόμεθα, ὅτι μήτε παρά τινος τῶν διδασκάλων αὐτὸ παρειλήφαμεν, ἔτι τε καὶ φόβος οὐ μικρὸς ὑποθρύπτει ἡμᾶς μὴ πῦρ πρόσκαιρον ὑποθέμενοι περιοδικόν τε καὶ καθαρτήριον, τῷ παντὶ λυμηνώμεθα τῆς ἐκκλησίας πληρώματι. τοῦ γὰρ Θεοῦ καὶ σωτῆρος εἰς αἰώνιον πῦρ ἀποφηναμένου τοὺς ἁμαρτωλοὺς ἀπελεύσεσθαι, ὁποῖον δὴ τοῦθ' ὑποληπτέον τὸ πῦρ, τοῦτο μόνον ἴσασιν οἱ πολλοὶ, καὶ περὶ τούτου ταῖς ἀκοαῖς ἐκ παίδων ἐνήχηνται, καὶ πρὸς τοῦτο ἀφορῶντες, κἀκεῖνο δεδιότες μάλιστα πάντων, καὶ λόγον ἀποδώσουσι πάντα καὶ πρᾶξιν. εἰ δὴ νῦν ἐκ νέου καὶ πρόσκαιρον ὀνομάζοιμεν πῦρ, δέος μὴ τοῦθ' ὑποπτεύσαντες εἶναι οἱ πολλοὶ τὸ αἰώνιον, καὶ πᾶν ἤδη τοιοῦτο νομίσωσι πῦρ, κἀντεῦθεν τὰ Ὠριγένους νοσήσωσι, καὶ τὴν τῆς αἰωνίου κολάσεως μνήμην τῶν ψυχῶν ἀποικίσωσιν, τέλος κολάσεως θέμενοι. ὅθεν ὡς πολλὰ μὲν ἕψεται ἄτοπα, πολλὴν δὲ ἐπιδείξονται περὶ τὴν οἰκείαν πολιτείαν ἀμέλειαν, καὶ πολλὴν χορηγήσουσιν ὕλην τῇ αἰωνίῳ κολάσει, οὐδεὶς ἀγνοεῖ. διὰ ταῦτα οὖν οὐδέποτε μέχρι τοῦ νῦν εἰρήκαμεν τοιοῦτον οὐδὲν, οὐδ' ὅλως εὕρομεν. Ὅτι δὲ αὖθις ἁμαρτιῶν ἄφεσις δίδοται τοῖς συγγνωστὰ πταίσασιν ἐκ Θεοῦ μετὰ τὴν ἀπὸ τοῦ σώματος λύσιν, ὅπερ ἦν καὶ πρῶτον τῶν ζητουμένων, τοῦτο καὶ τῶν διδασκάλων λεγόντων ἀκούομεν, ὃν ἐκεῖνοι διδάσκουσι τρόπον. Περὶ τοῦ μέσου δὲ δὴ καὶ δευτέρου ὁ λόγος λοιπός. τοῦτο δέ ἐστιν, εἰ διά τινος κολάσεως, κολάσεως δὲ οἷον εἱρκτῆς ἤ τινος ζόφου, ἢ ἁπλῶς διὰ τῆς φιλανθρωπίας τῆς τοῦ Θεοῦ καὶ τῶν τῆς ἐκκλησίας εὐχῶν ἱλεούμενον αὐτὸν τὰ τοιαῦτα ἀφιέναι ἁμαρτήματα. ἀλλὰ περὶ μὲν τούτου ταυτὶ οὐ καιρὸς εἰπεῖν· πρὸς δὲ τὰ περὶ ὑμῶν εἰσενηνεγμένα τὸν λόγον τρεπτέον, καὶ δεικτέον ὡς οὐδαμῶς τῶν ἑαυτῶν λόγων καθαρτηρίου πυρὸς ἀπομνημονεύουσιν οἱ τῆς ἡμετέρας ἐκκλησίας διδάσκαλοι, καὶ ἅπερ ἡμῖν προσεκομίσατο ῥητὰ τούτου συστατικὰ, ἐξηγητέον κατὰ δύναμιν αὐτίκα.

Τὴν μὲν ἀπὸ τῶν Μακκαβαϊκῶν, καὶ τοῦ κατὰ τὸν Ματθαῖον θείου εὐαγγελίου εἰσενηνεγμένην ὑμῖν μαρτυρίαν, αὐτόθεν ὥσπερ ἡμῖν ἄνωθεν εἴρηται, οὐ πολλὸν ποιησόμεθα λόγον. δῆλα γὰρ καὶ παντὶ, ἄφεσιν μὲν τινῶν ἁμαρτημάτων μετὰ θάνατον χορηγήσεσθαι τισὶν καὶ πάνυ δηλοῦντα. ὅτῳ δὲ τρόπῳ, καὶ εἰ διὰ κολάσεως, καὶ ταύτης διὰ πυρὸς, οὐδ' ἀπεκφαίνονται ὅλως. ὅτι γε μὴν ταῦτα τὸ καθαρτήριον πῦρ οὐκ εἰσάγουσιν οὐδαμῶς, καὶ

ἤλιυ

ἡλίου φανώτερον. τί γὰρ κοινὸν ἀφήσει, καὶ καθάρσει διὰ πυρὸς καὶ κολάσεως; ἢ γὰρ κολάσεως, ἢ ἀφήσεως χρεία· καὶ οὐχ ἅμα ἀμφοῖν. Τῷ γὰρ εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημήσαντι οὐκ ἀφεθήσεται, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι. καὶ προσετέθησαν πλέον οὐδέν. ἔτι καὶ οὐδὲν τὸ Μακκαβαϊκὸν ἐκεῖνο, Καλὸν εἶναι, λέγον, καὶ σωτηριῶδες τὸ ὑπὲρ τῶν ἀποθανόντων εὔχεσθαι, ὅπως αὐτῷ ἁμαρτιῶν ἀπολυθῶσιν· οὐδὲν οὐδ' αὐτὸ περιέχει λέγον περὶ κολάσεως, καὶ ταύτης ὠνομασμένης, ἀλλ' ἡ μόνον ἐλπίδι τῆς ἁμαρτημάτων τῶν ὑποιχομένων ἀφήσεως, ὑπὲρ αὐτῶν τῷ Θεῷ δεῖσθαι προτρέπεται. ἀλλὰ ταῦτα μὲν οὕτως. Ἐπ' αὐτὸ δὲ δὴ τὸ πολυθρύλλητον ἴωμεν, καὶ τὸ τοῦ μακαρίου Παύλου ῥητὸν ἐξετάζωμεν, ὅ,τι νοεῖ, μάλιστα μὲν τοῖς τῶν διδασκάλων ἀκολουθοῦντες ἐξηγήσεσί τε καὶ θεωρίαις τῶν ἡμετέρων· ἴδ' οὖν, ἀλλὰ καὶ αὐτοὶ ἔτι τὸν νοῦν ἄνωθεν πᾶσι τοῖς λεγομένοις ὑπὸ τοῦ ἀποστόλου ἐπιστήσαντες (ὡς ἐνὸν) καὶ κατ' ἴχνος τοῖς λόγοις ἑπόμενοι, ἕως ἂν τὸν ἀληθῆ τοῦ κήρυκος νοῦν δυνηθείημεν ἅψαι.

Θεμέλιον, φησὶν, ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον χρυσὸν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, κάλαμον, ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται. ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται, καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει. εἴ τινος τὸ ἔργον μένει ὃ ἐπῳκοδόμησεν, μισθὸν λήψεται, εἴ τινος κατακαήσεται τὸ ἔργον, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός.

Πρῶτον μὲν οὖν ὑμᾶς εἰδέναι βουλόμεθα, ὅτι ὁ μακάριος Ἰωάννης ὁ χρυσοῦς καὶ ψυχὴν καὶ τὴν γλῶτταν, ἔργον ἐποιήσατο ἑαυτοῦ τὴν τῶν ἐπιστολῶν τοῦ κήρυκος ἑρμηνείαν, ὥσπερ καὶ τῆς ἄλλης ἁπάσης γραφῆς παλαιᾶς τε καὶ νέας. Λέγεται δὲ περὶ αὐτοῦ καὶ ἀνάγραπτον ἐν τῷ κείνου φέρεται βίῳ, καὶ ἡμεῖς δὲ πιστεύομεν, ὡς παντὸς μᾶλλον ἀληθῶς εἰρημένῳ ἐγχειρῆσαι τῷ πράγματι βουληθέντα, πολλὰ μὲν ἰλιγγιᾶν, ἀφορῶντα πρὸς τὸ βάθος τῶν νοημάτων τοῦ ἀποστόλου, πολλὰ δὲ δεδιέναι μὴ κατόπιν λειφθῇ τῆς διανοίας ἐκείνου. ὅθεν ἐπ' εὐχὴν τραπόμενον, καὶ πολλὰ δεηθέντα τοῦ Παύλου συλλαβέσθαι οἱ πρὸς τὸ προκείμενον σπούδασμα, οὕτως ἅψασθαι καὶ τοῦ ἔργου. τὸν δὲ μακάριον Παῦλον τοῦτο μὲν ἀποδεξάμενον τὸ τοῦ φρονήματος αὐτοῦ μέτριον, τοῦτο δὲ καὶ δηλῶσαι βουλόμενον, ὡς κατὰ νοῦν αὐτῷ εἴη ἑρμηνέα τ' ἑαυτοῦ γενέσθαι τὸν Ἰωάννην, ὀφθῆναι παρεστῶτά τε αὐτῷ καθημένῳ καὶ λοιπὸν ἁψαμένῳ τοῦδε ἔργου, καὶ πρὸς τὸ οὖς ὑποψιθυρίζοντα. ὀφθῆναι δὲ Πρόκλῳ τῷ καὶ μαθητῇ Ἰωάννου καὶ διαδόχῳ τοῦ Κωνσταντινουπόλεως θρόνου. καὶ ὁ τρόπος οἷος· τὸν ἐν τέλει τινὰ δυστυχίᾳ χρησάμενον, καὶ ὀργῆς που * πειρώμενον βασιλικῆς, τὸν δὲ Πρόκλον ὑπανοίξαντα τὴν τοῦ δωματίου θύραν τοῦ διδασκάλου ὡς εἰσελθεῖν τε καὶ ἀναγγεῖλαι, ἰδεῖν ἄνδρα τινὰ ὄπισθεν παρεστῶτα τῷ Ἰωάννῃ ὑποκεκυφότα μικρὸν, καὶ πρὸς τὸ οὖς ὑποψιθυρίζοντα· ὑποπτεύσαντα δή τινα παρ' αὐτὸν εἰσιέναι, μὴ εἰδότος αὐτοῦ, ὑποστρέψαι καὶ εἰπεῖν τῷ δυστυχοῦντι ἀνδρὶ, ἀπιόντα εἰσαῦθις ἐπανελθεῖν. καὶ τοῦτο ἐπὶ τρισὶ νυξὶ γέγονεν ἐφεξῆς. καὶ ὁ παριστάμενος ἄνθρωπος οὐκ ἀφίστατο τοῦ Ἰωάννου ἐγκύπτοντος ἤδη πρὸς τῷ ἔργῳ λοιπὸν, καὶ τὴν τοῦ Παύλου τὴν ἐξήγησιν ποιουμένου· ἀλλ' ἅμα τ' ἀναγγελεῖν ὁ Πρόκλος εἰσῄει, κἀκεῖνος αὐτῷ ἐφαίνετο παριστάμενος. ὡς δὲ κατὰ τρίτην ἡμέραν ἐμνήσθη ποτὲ τοῦ ἀνδρὸς ἐκείνου ὁ θαυμάσιος Ἰωάννης (ᾔδει γὰρ δὴ τὰ περὶ αὐτοῦ πρότερον, καὶ συγκείμενον ἦν παρ' αὐτὸν ἀφικέσθαι) ἐθαύμασέ τε εἰ μὴ μέχρι τοῦ νῦν ἦλθε, καὶ τοῦ Πρόκλου ἐπύθετο. ὁ δὲ, Καὶ πάνυ μὲν, ἔφη, καὶ ἦλθε καὶ πολλάκις. ἀλλὰ σὲ δια-

μελέμενον ἑτέρῳ ὁσάκις εἰσῄειν ὁρῶν, ἐθαύμαζόν τε, καὶ ὄχλον σοι παρέχειν ἐδεδίειν. τὸν δὲ συμβαλόντα τὸ εἰρημένον, εὐθὺς ἐξετάσαι τε σχῆμα καὶ εἶδος τοῦ ἀνδρὸς ἐκείνου, ἐπιμαθόντα ἀναφθαρτίαν τε φαίνεσθαι, καὶ τῇ ἐπηρτημένῃ ἐκεῖσε τοῦ Παύλου εἰκόνι αὐτὸν ἐμφερῆ, μεγάλα τε δοξάσαι Θεὸν καὶ τὸν Παῦλον, καὶ δύσελπιν γεγονότα προθυμότερόν τε τοῦ προκειμένου ἅψασθαι ἔργου, καὶ τὸ πᾶν συμπερανεῖσθαι συλλαβομένου Θεοῦ καὶ τοῦ Παύλου. οἵα δὲ χάρις τούτοις ἐπικέχυται τοῖς λόγοις αὐτοῦ, καὶ ὡς κάλλει τε φράσεως καὶ νοημάτων, ὥρᾳ τε καὶ βαθύτητι πάντας ὑπερεβάλετο, μόνοι δύναιντο ἂν εἰδέναι οἱ τῆς ἐκείνου συνιέντες φωνῆς.

Οὗτος οὖν, ἵνα μὴ μακρὸν ἀποτείνωμεν λόγον, ἐν τῷδε τῷ τόπῳ γενόμενος, καὶ τὸ ῥητὸν τοῦτο ἑρμηνεύων, οὐδὲν τοιοῦτον οὐδ᾽ εἶπεν, οὐδ᾽ ἐνενόησε ὅπερ ὑμεῖς λέγετε. οὐδὲ καθαρτήριον καὶ πρόσκαιρον πῦρ ὑπεμφαίνειν ταύτην τὴν φωνὴν ἀπεφήνατο, ἀλλὰ περὶ τῆς αἰωνίου ἐκείνης καὶ ἀτελευτήτου κολάσεως τὸν λόγον ἐδέξατο. ξύλα τε γὰρ καὶ καλάμην καὶ χόρτον, τὰ τῆς αἰωνίου φλογὸς ὑπεκκαύματα λέγειν ὑπείληφε τὸν ἀπόστολον καὶ πῦρ τὸ αἰώνιον· τὴν δὲ ἐν πυρὶ τῶν κολαζομένων σωτηρίαν, τὴν διαμονὴν τὴν ἐν αὐτῷ, καὶ τὸ διηνεκὲς τοῦ κολάζεσθαι. ἵνα γὰρ μή τις ἀκούσας πῦρ, εἰδὼς δὲ καὶ σῶμα μετὰ τὴν ἀνάστασιν ἀναλήψεσθαι τοὺς ἀνθρώπους, τοὺς δ᾽ ἁμαρτωλοὺς ἤδη καὶ παθητὸν, ὑποπτεύσῃ χρόνῳ ποτὲ παθεῖν, καὶ φθαρῆναι ἐκεῖνα τὰ σώματα τούτῳ δὴ πυρὶ, καὶ τέλεον ἀναλωθῆναι, καὶ μάλιστα καῦσιν τῶν ἔργων ἀκούσας, πρὸς τοῦτο ἀνθιστάμενος ὁ διδάσκαλος, οὐκ ἔστι τοῦτο, φησὶν, οὐκ ἔστι. οὓς γὰρ ἂν ἐκεῖνο λάβῃ τὸ πῦρ, αἰωνίως καθέξει κολάζον, καὶ ἀπολύτρωσις ἐκεῖθεν οὐκ ἔστι. εἰ γὰρ δὴ καὶ τὰ ἔργα αὐτῶν ἔξαψις ἐκείνη γενήσεται, αὐτοί γε, οὐκ ἀναλωθήσονται, ἀλλὰ διαμένουσι κολαζόμενοι, σεσωσμένοι, καὶ ὄντες εἴσω τοῦ πυρός. οὕτω μὲν οὖν οὗτος ἐξεδέξατο ῥητὸν τοῦτο· οὕτω δὲ καὶ τῶν διδασκάλων οἱ πλείους, οἷς οὐ χρεὼν ἀπιστεῖν.

Εἰ δὲ τὸν μακάριον Αὐγουστῖνον ἡμῖν προβαλεῖσθε, καὶ εἴ τινα κατ᾽ ἐκεῖνον τῶν Λατίνων ἁγίων ἄλλως ἐκδεξαμένους τὸν λόγον, καὶ περὶ τοῦ καθαρτηρίου πυρὸς ὑπειληφότας λεχθῆναι· πρῶτον καὶ φαίημεν ἂν καὶ μάλα δίκαιον τὰ Ἑλλήνων τοὺς Ἕλληνας δεῖν ἐπίστασθαι μᾶλλον, καὶ τῆς ἐκείνων φωνῆς τοὺς τὴν αὐτὴν ἀφιέντας συνιέναι, καὶ ὑμεῖς ἂν συγχωρήσαιτε. εἰ οὖν τὰ Ἑλληνικῶς τῷ κήρυκι γεγραμμένα οὐδεὶς τῶν τὴν Ἑλληνικὴν ἀφιέντων ἁγίων ἄλλως φαίνεται συνιεὶς καὶ ἑρμηνεύσας ἢ ὡς ὁ μακάριος Ἰωάννης, ἐκείνοις ἐχρῆν μᾶλλον πιστεύειν, τοσούτοις οὖσι καὶ τηλικούτοις. τοὺς μὲν γὰρ Λατίνους ἁγίους τὸ μὲν τῇ μεταφορᾷ τῆς γραφῆς οὐκ εὐπορησάσῃ λέξεως προσφυοῦς, δηλούσης ὃ καὶ τὸ Ἑλληνικὸν βούλεται, φαίημεν ἂν εἰς ταύτην διάνοιαν ἀπαχθῆναι· τὸ δὲ καὶ μεῖζόν τι κακὸν ἀναιροῦντας, συγχωρῆσαι τὸ ἔλαττον. ὡς γὰρ ἐξ αὐτῶν τῶν Αὐγουστίνου δείκνυται λόγων, ἦσαν οἳ τὸ ῥητὸν τοῦτο ἐπὶ πάσας εἷλκον ἁμαρτίας, πᾶσαν νομίζοντες εἶναι καθάρσιμον, ὡς καὶ τὴν αἰώνιον τέλος ἕξουσαν ποτὲ κόλασιν. τοῦτο οὖν βουλόμενος ἀνελεῖν, καὶ τῶν ψυχῶν ἀπελάσαι, τῇ μέσῃ ταύτῃ συγχωρεῖ κολάσει, παροδικὸν δοὺς πῦρ, κἂν τῆς λέξεως ἴσως ἀσθενείας ἀπενεχθεὶς ἐπὶ τοῦτο. τὸ γὰρ σωθῆναι καὶ σώζεσθαι, καὶ ἡ σωτηρία ἁπλῶς, οὐδὲν ἄλλο παρὰ τοῖς Ἕλλησι ἐπὶ τῇ ἡμετέρᾳ βούλεται γλώττῃ, ἢ τὸ διαμένειν καὶ εἶναι. τοῦτο δὲ καὶ αὕτη ἡ τοῦ ἀποστολικοῦ ῥητοῦ δηλοῖ ἔννοια. ἐπειδὴ γὰρ φύσις μὲν πυρὸς, ἀπολλῦναι, οἱ δὲ αἰωνίῳ κατέχονται δίκῃ οὐκ ἀπολοῦνται (ἢ γὰρ οὐδ᾽ αἰωνίως κατείχοντο) μένουσιν, φησὶν, ὄντες τε καὶ σωζόμενοι, κἂν τῷ πυρὶ κατακαίονται.

Πρῶτα

Πρῶτα μὲν οὖν πρὸς τοῦτον ἀπαντώμεθα τὸν λόγον. ἔπειτα δὲ οὕτω μὲν τοῦ Ἰωάννου καὶ τῶν Γραικῶν ἁγίων ἁπάντων ἡρμηνευκότων τοῦτον τὸν λόγον, ὡς λέγομεν, οὕτω δὲ Αὐγουστίνου καὶ τῶν Λατίνων, αὐτοὶ μέσοι γενόμενοι, ἄνωθέν τε τοῦ ἀποστολικοῦ ἐπιστάμενοι λόγου, καὶ κατ' ἴχνος ἑπόμενοι, θεωρήσομεν ὅ,τι δηλοῦν βούλεται, τὴν ἀλήθειαν προτετιμηκότες ἁπάντων. ἔχει γοῦν οὕτως. Ὁ μὲν θεμέλιος φησὶ καταβέβληται, καὶ ἄλλον οὐκ ἔστι θεῖναι λοιπόν. εἷς γὰρ ἐστὶ καὶ ὁ αὐτὸς Ἰησοῦς Χριστὸς, καὶ μὴ ἀπιστήσῃ εἰς αὐτόν. ἕως μὲν οὖν μέχρι τούτου περὶ δογμάτων ὁ λόγος· τὰ δὲ ἑξῆς περὶ φιλοσοφίας τῆς πρακτικῆς. πρὸς γὰρ πιστοὺς τὸν λόγον ποιούμενος, τὸν μὲν λόγον τῆς πίστεως, καὶ μάλιστα τῆς ταύτης θεμέλιον (ὃ δ' ἐστὶν ἡ εἰς τὸν σαρκωθέντα Θεὸν πίστις) ἐναλλάξαι φησὶν, οὐκ ἔστιν οὐδένα, ἐπεὶ τὸ, τὸν τοῦτο τολμήσαντα τὸ πᾶν ἀνατρέψαι λοιπόν. ἐπεὶ δὲ τάδε ἔργα νεκρὰ τῆς πίστεως ἄνευ, ἥ τε πίστις ἄνευ τῶν ἔργων ἰσχύει οὐδὲν, τῇ πίστει λοιπὸν καὶ τὸν περὶ τῶν πραγμάτων προστίθησι λόγον, καὶ περὶ τῶν ἐποικοδομούντων τὸν λόγον ποιεῖται. διαιρεῖται δ' αὐτὸν εἰς δύο καὶ μόνα, τρίτον καὶ μέσον ὑποφαίνων οὐδέν. χρυσὸν μὲν καὶ ἄργυρον καὶ λίθους τιμίους, τὰς ἀρετὰς ὀνομάζων· ξύλα δὲ καὶ καλάμην καὶ χόρτον, ἐκ τοῦ ἐναντίου τὰ ἐναντία, δηλαδὴ τὰς κακίας. καίτοι τότ' ἂν εἶχεν ἴσως καί τινα τὴν ἀνάγκην ὁ ὑφ' ὑμῶν λεγόμενος λόγος, εἰ διχῇ μὲν τὴν κακίαν διῄρει· ἔτι καὶ Θεὸν δὲ ταύτης εἶναι καθάρσιμον, τὸ δὲ ὅλως τῆς αἰωνίου καθάρσεως ἀξιοῦσθαι. νῦν δὲ πεποίηκε τοιούτων οὐδὲν, ἀλλὰ τοὺς τῆς αἰωνίου ζωῆς παραιτίους (λέγω τὰς ἀρετὰς) τάς τε τῆς αἰωνίου δίκης κακίας ἀριθμησάμενος, εἶτα ἐπάγει ἑκάστου τὸ ἔργον φανερὸν γενήσεσθαι. προστίθησι δὲ καὶ τὸ πότε, τὴν τελευταίαν ἐκείνην ἡμέραν ὑποσημαίνων, ἐν ᾗ κατείσει ὁ Θεὸς τὰ κατ' ἀξίαν ἀποδώσων ἑκάστῳ. Ἡ γὰρ ἡμέρα δηλώσει, φησὶν, ὅτι ἀποκαλύπτεται ἐν πυρί. αὕτη γὰρ ἔσται φανερῶς ἡ τῆς δευτέρας ἐλεύσεως τοῦ σωτῆρος, καὶ ὁ μέλλων ἐκεῖνος αἰὼν, ἡμέρα κυρίως καλούμενος. ἢ ὅτι μὴ πέφυκεν πρὸς τὴν παροῦσαν ζωὴν συγκρινόμενος ἡμέρα, ὡς πρὸς νύκτα ἀναλογεῖ, ὡς καὶ ἐν ἄλλοις φησὶν ὁ αὐτὸς, Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. [Ρωμ. ιγ.] αὕτη οὖν ἐστὶν, ὡς εἴρηται, καθ' ἣν ἐρχομένου μετὰ δόξης αὐτοῦ, πυρὸς ποταμὸς αὐτοῦ προπορεύσεται· [Δανιὴλ. ζ.] περὶ οὗ φησι, καὶ ὁ Δανιὴλ προφήτης, Πυρὸς ποταμὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ. [Ψαλμ. μθ.] καὶ ὁ Δαβὶδ αὖθις, Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά. καὶ αὖθις, Πῦρ ἐνώπιον αὐτοῦ. [Πέτρου ἐπιστ. α. κεφ. γ.] περὶ ἧς καὶ ὁ μακάριος Πέτρος φησὶν, Ἥξει δὲ ἡ ἡμέρα κυρίου, ὡς κλέπτης ἐν νυκτὶ, ἐν ᾗ οἱ οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται. καὶ αὖθις, Προσδοκῶντας καὶ σπεύδοντας τὴν παρουσίαν τῆς τοῦ Θεοῦ ἡμέρας, δι' ἣν οἱ οὐρανοὶ πυρούμενοι λυθήσονται, καὶ στοιχεῖα καυσούμενα τήκεται. καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλος, κατὰ τὴν δοθεῖσαν αὐτῷ σοφίαν, ἔγραψεν ἡμῖν. ἐξ ὧν δῆλον ἁπάντων, ὅτι περὶ τῆς τελευταίας ἐκείνης ἡμέρας καὶ τοῦ διαιωνίσοντος κατὰ τῶν ἁμαρτωλῶν πυρὸς, ὁ μακάριος Παῦλος ἐνταῦθα τὸν λόγον ποιεῖται. Τὸ δὲ πῦρ ἐκεῖνο, φησὶν, ἑκάστου τὸ ἔργον, ὁποῖόν ἐστι δοκιμάσει· ἃ μὲν φωτίζον, ἃ δὲ σὺν αὐτοῖς ἐκείνοις τοῖς δράσασι κατακαῖον. τὸ γὰρ δὴ πῦρ τοῦτο, οἵ τε διδάσκαλοι πάντες, ὅ,τε μέγας Βασίλειος, διπλοῦν ἀπεφήνατο εἶναι. καὶ μάλιστα πάντων ἐστὶν ἐκεῖνο τὸ ψαλμικὸν ἐξηγούμενος, [Ψαλμ. κη. Βασίλ.] Φωνὴ κυρίου διακόπτοντος φλόγα πυρὸς, τὸ ἡτοιμασμένον εἰς κόλασιν τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· Πῦρ, λέγων, ἐκεῖνο διακόπτεται τῇ φωνῇ τοῦ κυρίου, ἵνα ἐπειδὴ δύο εἰσὶ δυνάμεις, ἥ τε καυστικὴ, ἡ δὲ φωτιστικὴ, τὸ μὲν δριμὺ καὶ κολαστικὸν τοῦ πυρὸς τοῖς ἀξίοις τῆς καύσεως προσαπομείνῃ, τὸ δὲ φωτιστικὸν αὐτοῦ καὶ λαμπρὸν τῇ φαιδρότητι τῶν εὐφραι-

νομένων ἀποκληρωθῇ. φωνὴ οὖν κυρίου διακόπτοντος φλόγα πυρὸς, καὶ μερίζοντος, ὡς ἀλλαχοῦ τις μὲν εἴρηται τὸ πῦρ τῆς κολάσεως, ἄκαυστον δὲ τὸ φῶς τῆς ἀναπαύσεως διαμεῖναι. τοῦτο τοιγαροῦν τὸ μὲν ἐστὶν οἷον περιδραξάμενον τῶν δικαίων, φωτίσαι τε αὐτοὺς καὶ λαμπρῦναι, χρυσίου τε παντὸς ἀποφῆναι λαμπροτέρους· τὸ δὲ οἷον τοὺς πονηροὺς καταλαβὸν, κατακαίειν τε καὶ αἰωνίως κολάζειν. διὸ φησὶν, κρεῖττω ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει. ὧν μὲν γὰρ τὰ ἔργα μένει κρείττω τοῦ πυρὸς ἐκείνου φανέντα, ἢ μᾶλλον οἰκεῖα τῇ φωτιστικῇ ἐνεργείᾳ αὐτοῦ, φίλα συγγινόμενα φίλῳ, καὶ ὅμοια τοῖς ὁμοίοις, καὶ τῷ φωτεινῷ, τὰ φωτεινὰ, οὗτοι μισθὸν λήψονται. εἰς ἃ δὲ ἐπιδείξεται τὴν καυστικὴν ἐνέργειαν ἑαυτοῦ, πρὸς ἔξαψιν ἐπιτήδεια ὄντα, καὶ τοῦτον ἐν αὐτῷ σώζοντα τὸν λόγον, ὃν πρὸς ἄλλην τινὰ φλόγα ξύλα καὶ καλάμη καὶ χόρτος, τὰ τῶν ὑλῶν εὐκαταπρηστα καὶ εὐανάπτα, οἱ τούτων ἐργάται ζημιωθήσονται. οὐ μέντοι καθ' ὃν τρόπον τὰ πονηρὰ ἐκεῖνα ἀφανισθήσονται ἔργα, καὶ ἀναλωθήσονται τῷ πυρὶ, οὕτω δὴ καὶ οἱ ἐργασάμενοι. αὐτοὶ γὰρ ἐν τῷ πυρὶ διατελέσουσι διαμένοντες, καὶ αἰώνια κολαζόμενοι. πρῶτα μὲν οὖν ἀπὸ τοῦ μὴ τῶν κακιῶν πεποιηκέναι διαίρεσιν εἰς θανασίμους καὶ μὴ τοιαύτας, ἀλλὰ καὶ τῶν ἔργων ἁπλῶς εἰς ἀρετὰς καὶ κακίας· δεύτερον δὲ, τῷ πότε ταῦτα γενήσεται διὰ τῆς τελευταίας ἡμέρας ὑποσημαίνειν, ὃ καὶ μακάριος φησὶ Πέτρος· καὶ τρίτον, τῷ περιδράξασθαι λέγειν τὸ αὐτὸ καῖον πῦρ τά τε τῶν ἔργων εὐανάπτα, τά τε πράξαντα διαμένειν ἀνάλωτα, δῆλός ἐστιν ὁ μακάριος Παῦλος, οὐ περὶ καθαρτηρίου πυρὸς τὸν λόγον ποιούμενος, ὃ καὶ περὶ μικρᾶς τινὸς ἁμαρτίας ὑμεῖς οὐ πᾶσαν κακίαν ἁπλῶς καὶ πρὸ τῆς κρίσεως δοξάζετε δηλαδὴ, καὶ κατὰ ἀνάπλεσθαι τῶν καθάρσιμα πεπραχότων, οὐχὶ δήπου τῶν δικαίων, ὧν χρυσὸς καὶ τίμιοι λίθοι τὰ ἔργα· ἀλλὰ περὶ τῆς αἰωνίου ἐκείνης καὶ ἀτελευτήτου κολάσεως, καθ' ἣν ταῦτα γενήσεται. ἀλλὰ καὶ αὐτὴ ἡ λέξις τοῦ Ζημιωθήσεται ὧν τὰ ἔργα εὐανάπτα, οὐδὲν ἄλλο ἢ τοὺς αἰωνίως κολαζομένους δηλοῖ, καὶ τοὺς ζημιουμένους τὴν τοῦ θείου φωτὸς μετουσίαν, καὶ τὴν αἴγλην τοῦ δοκιμάσαντος· ἃ τοῖς καθ' ὑμᾶς καθαιρομένοις οὐδαμόθεν προσήκει, εἴπερ οὗτοι πρὸς τὸ μηδὲν ζημιοῦνται, καὶ μεγάλα κερδαίνουσιν, ἀποτιθέμενοι μὲν τὴν κακίαν, μεταμφιεννύμενοι δὲ τὴν καθαρότητα καὶ τὸ ἄσπιλον. Οὕτω μὲν οὖν ἡμεῖς τὸ ῥητὸν ἐκδεχόμεθα τοῦτο. οὕτω δ' ἴσως καὶ κατ' ἀληθὲς ἔχειν δοκεῖ. εἰ δέ τις ἄλλως αὐτὸ ἐξηγήσατο, σωτηρίαν μὲν τὴν ἀπαλλαγὴν τῆς κολάσεως, δίελευσιν δὲ διὰ τοῦ πυρὸς τὴν καθάρσιμον ἐννοήσας, φαίνεται φανερῶς τῆς ἀκριβείας μὴ ἀφικόμενος. καὶ θαυμαστὸν οὐδὲν ἂν εἴη, ὅπου γε πολλοὶ τῶν διδασκάλων φαίνονται διαφόρως ἐξηγούμενοι τὰ ῥητὰ τῆς γραφῆς, οὐ πάντες ἐπιτυγχάνοντες ὁμοίως τῆς ἀκριβείας. οὐδὲ γὰρ δυνατὸν τὴν αὐτὴν ῥῆσιν πρὸς διαφόρους ἀποδιδομένην ἐννοίας ἐφαρμόζειν ἁπάσαις ὁμοίως. ἀλλὰ ἡμᾶς δὲ δεῖ τὰς κυριωτέρας τούτων ἐκλεγομένας καὶ συμφανοτέρας τοῖς ἐκκλησιαστικοῖς δόγμασι, τὰς λοιπὰς ἐν δευτέρῳ τίθεσθαι.

Ἐπεὶ δὲ καί τινων ῥητῶν ἐπεμνήσθητε τῶν πατέρων δοκούντων συνίστασθαι τοῖς παρ' ὑμῶν εἰρημένοις, διὰ βραχυτάτων, ὡς ἔνεστι, καὶ περὶ τούτων ἐροῦμεν, τὸ τοῦ λόγου μῆκος ἐκφεύγοντες. πρῶτον μὲν οὖν εἴπερ τὸν μέγαν Βασίλειον προσηνέγκατε ἐν ταῖς κατὰ τὴν Πεντηκοστὴν εὐχαῖς λέγοντα, καὶ τὸν ἅγιον Ἐπιφάνιον, ἔτι δὲ καὶ τὸν ἐκ Δαμασκοῦ Ἰωάννην θεῖον, οὐ μὴν ἀλλὰ καὶ τὸν πάμμεγαν Διονύσιον, οὐδὲν ἄλλο δηλοῦντα, ἢ ὅτι πρὸς τινῶν ἁμαρτημάτων ἀπαλλαγὴν οἷαί τ' εὐχαὶ καὶ αἱ ὑπὲρ τούτων δεήσεις λυσιτελοῦσι ἐπὶ πάνυ, ὑμεῖς τε συνίστε, καὶ πολλοῦ λόγου δεῖν οὐ νομίζομεν. ἔπειτα δὲ ἃ φατὲ τὸν μακάριον

Θεοδώρητον

Θεοδώρητον λέγειν, ἄνδρα σοφόν τε καὶ θεῖον, καὶ μέγα ἐπὶ λόγοις ἔχοντα τὸ κλέος, εἰ μὲν καὶ παρ' ὑμῖν οὕτως εὑρίσκετο ἔχοντα, εἶχον ἄν τινα λόγον, καί τινος ἴσως ἀπολογίας ἐδέησεν. ἐπεὶ δὲ πολλῶν ὄντων τῶν ἐκείνου παρ' ἡμῖν συγγραμμάτων, ἐν οὐδενὶ φαίνεται πώποτε εἰρηκὼς, οὐδὲ λόγου ἡμῖν δεῖ πρὸς ταὐκείνου.

Λοιπὸς δὴ Γρηγόριος ὁ μακάριος ὁ τῆς Νυσσαέων προστάτης ἐκκλησίας, ὃς δὲ μᾶλλον τῶν ἄλλων δοκεῖ λέγειν ὑμῖν συνιστάμενον. καίτοι βέλτιον ἦν σιωπῇ τὰ ἐκείνου τιμᾶσθαι, καὶ μηδαμῶς ἡμᾶς ἀναγκάζεσθαι τὴν ὑπὲρ τούτου ἀπολογίαν φανερῶς ἐν τῷ μέσῳ ποιεῖσθαι. ῥητέον δ' οὖν ὅμως (ὡς ἔνεστι) τὴν εὐφημίαν φυλάξασι τῷ πατρί· Ἄνθρωπος ἦν, ἀνθρώπῳ δὲ, κἂν ὅτι μάλιστα εἰς ἄκρον ἁγιωσύνης ἀφίκηται, οὐκ ἀδύνατον ἁμαρτεῖν, καὶ μάλιστα περὶ ἃ μηδεμία προέβη ἐξέτασις, μηδὲ κοινῇ συνελθόντες πατέρες τὸ δοκοῦν ἐψηφίσαντο. δῆλον γὰρ δὴ τοὺς πολλοὺς ὑπὲρ τὸν ἕνα τὰ ἀληθῆ δύνασθαι συνιέναι, εἴγε εἰσὶ δύο ἀγαθοὶ ὑπὲρ τὸν ἕνα. τοῦ γοῦν περὶ τῆς αἰωνίου κολάσεως μήπω ἐξητασμένου ζητήματος, τῆς τῶν ἁμαρτωλῶν ἀποκαταστάσεως δόξης καὶ αὐτὸς γενέσθαι δοκεῖ, καὶ τέλος εἰσάγειν κολάσεως, μηδὲν ἄλλο ταύτην εἶναι ἀποφαινόμενος, ἢ κάθαρσίν τινα καὶ χωνείαν, καὶ πρὸς Θεὸν ἑλκυσμὸν δι' ὀδύνης καὶ πόνων, ὡς ἐσομένης ποτὲ τελείας ἀποκαταστάσεως πάντων, καὶ τῶν δαιμόνων αὐτῶν, ἵνα ᾖ, φησὶν, ὁ Θεὸς τὸ πᾶν ἐν πᾶσι, κατὰ τὸν ἀποστολικὸν λόγον.

Πρῶτον μὲν οὖν ἀπολογούμεθα ὑπὲρ τούτου ὃ παρὰ τῶν πατέρων ἡμῶν παρελάβομεν, ὡς εἰκὸς διαφθορὰς εἶναι ταῦτα καὶ παρεμβολὰς αἱρετιζόντων τινῶν, καὶ τὰ Ὠριγένους φρονούντων, οἵτινες ἤκμαζον πολλοὶ κατ' ἐκείνους τοὺς χρόνους ἐν τοῖς κατ' Αἴγυπτον μάλιστα καὶ Παλαιστίνην τόποις, ἵνα καὶ τὸν ἅγιον τοῦτον καὶ μέγαν φωστῆρα συνήγορον ἔχειν δοκῶσιν. Ἔπειτα δὲ τοῦτό φαμεν, ὡς εἰ καὶ δόξης τοιαύτης, ὡς ἀληθῶς, ὁ ἅγιος ἦν, ἀλλ' ἔτι ὄντος ἀμφισβητησίμου τοῦ δόγματος τότε, καὶ μήπω διακεκριμένου τελέως, ὡς εἴρηται, μηδὲ τῆς ἐναντίας δόξης ἀποβληθείσης, ὃ κατὰ τὴν πέμπτην ἐγένετο σύνοδον, εἴ τι τῆς ἀκριβείας, ὡς ἄνθρωπος, καὶ αὐτὸς παρεσφάλη, θαυμαστὸν οὐδὲν, ὅπου γε καὶ τῶν πρὸ αὐτοῦ πολλοὶ τὸ τοιοῦτον ἔπαθον, Εἰρηναῖός τε ὁ Λουγδούνων, καὶ Διονύσιος ὁ Ἀλεξανδρείας, καὶ ἕτεροι. καὶ γὰρ οὗτοι λαβήν τινα παρέχουσι τοῖς διαβάλλουσιν, οἷς εἰρήκασιν. ὅτι δὲ ἀμφισβητήσιμον ἦν ποτὲ τὸ δόγμα, καὶ μήπω διακεκαθαρμένον ὅπως ἂν ἀκριβείας ἔχοι, μάρτυς ὁ θεολόγος Γρηγόριος ἐν τῷ εἰς τὸ βάπτισμα λόγῳ, περὶ τοῦ ἀσβέστου ἐκείνου πυρὸς φιλοσοφῶν, καὶ μετὰ τοῦτο λέγων, Εἰ μή τῳ φίλον νοῆσαι κἀνταῦθα τοῦτο φιλανθρωπότερον, καὶ τοῦ κολάζοντος ἐπαξίως. «Γρηγορ. «Θεολ. Ὁρᾷς, ὡς ἐφίησι τοῖς βουλομένοις νοῆσαι τὸ πῦρ ἐκεῖνο φιλανθρωπότερον; ἀλλὰ τῇ πέμπτῃ τῶν συνόδων ἀπανθρωποτάτη πασῶν ἡ τοιαύτη δόξα νενόμισται, καὶ ὡς λυμαντικὴ τῆς ἐκκλησίας, καὶ τῶν σπουδαίων ἐκλυτικὴ, τῷ ἀναθέματι ὑποβέβληται. καὶ τὰ εἰρημένα τοίνυν (εἴπερ εἰσὶν εἰρημένα τῷ θαυμαστῷ Γρηγορίῳ περὶ τοῦ πυρὸς ἐκείνου) κάθαρσιν μὲν οὐ μερικὴν ἀλλὰ τελείαν εἰσάγουσι, καὶ τελείαν πάντων ἀποκατάστασιν· πείθουσι δὲ ἡμᾶς οὐδαμῶς, πρὸς τὴν κοινὴν ἀφορῶντας δόξαν τῆς ἐκκλησίας, καὶ ταῖς θείαις γραφαῖς ὡς κανόσι χρωμένους, ἀλλ' οὐχ ὅτι ἕκαστος ἰδίᾳ γέγραφε σκοπουμένους ἐκ τούτων, οὐδὲ εἴ τις ἄλλος περὶ καθαρσίου πυρὸς ἕτερά τινα γέγραφεν, ἀνάγκην ἔχομεν παραδέξασθαι. οὐδὲ γὰρ ἡ γραφὴ διπλῆν κόλασιν καὶ διπλοῦν πῦρ, οὐδ' ἡ πέμπτη τῶν οἰκουμενικῶν συνόδων ἡμῖν παραδέδωκεν.

Ἀλλ' Αὐγουστῖνος διαῤῥήδην εἴρηκε, φήσετε, περὶ τούτου, καὶ Ἀμβρόσιος, οἱ μακάριοι,

καὶ Γρηγόριος ὁ διάλογος. τοῦτο φαμὲν καὶ ἡμεῖς, καὶ οὐκ ἔστιν ἀρνήσασθαι. ἀλλὰ τῶν ἀνδρῶν τούτων ὄντων Λατίνων, καὶ λατινικῶς συγγεγραφότων τὰ ἑαυτῶν, τὰ μὲν ὅλως οὐδέν τι σαφὲς περὶ τοῦ καθαρτηρίου πυρὸς ἀποφαίνονται, ἀλλ' ὅτι μόνον ὠφελοῦσι τοὺς τεθνεῶτας αἱ ὑπὲρ αὐτῶν γινόμεναι λειτουργίαι τε καὶ εὐχαί, διδάσκουσι· τὰ δὲ καὶ σαφῶς τοῦτο διαγορεύοντα, οὐδὲν τούτων μὲν οὐδέπω καὶ τήμερον ἀνεγνώσθη σύγγραμμα παρ' ἡμῖν, οὐδὲν μὲν οὖν τι φασὶ περὶ τοῦ ζητήματος τούτου, οὐ δὲ περὶ ἄλλου τινός, ἢ ὅσον ὀλίγοις χρόνοις πρότερον περὶ τριάδος μόνον τοῦ Αὐγουστίνου, καὶ οἱ τοῦ Γρηγορίου διάλογοι μετενεχθέντες ἐκ τῆς Ῥωμαίων ἐς τὴν Ἑλλάδα διάλεκτον. τί οὖν θαυμαστὸν εἰ ἀγνοοῦμεν ὃ μηδέποτε εἴδομεν, μήδ' ἀνέγνωμεν, μήτ' ἠκούσαμεν; οἱ μὲν γὰρ ἡμέτεροι, καὶ ὅσοι τὴν Ἑλλήνων ἀφίεσαν, εἰρήκασι περὶ τούτων οὐδέν· ἃ δὲ εἶπον Λατῖνοι, ἡμῖν Ἕλλησιν εἰσὶ πάντως ἀσύνετα. οὐ μὴν ἀλλὰ καὶ τὰς τῶν πατέρων τούτων ἔχοι τις ἂν παραμυθήσασθαι χρήσεις καὶ μάλα καλῶς. ἐξ αὐτοῦ γὰρ Αὐγουστίνου μακαρίου, καὶ Γρηγορίου τοῦ διαλόγου φαίνεται δηλῶς, μήτ' αὐτούς, μήθ' ὅσοι τοῦτο εἰρήκασιν ἄλλοι, ἐπ' ἐξουσίας διασκεψαμένους εἰπεῖν, καὶ αὐτόθεν ἐπιβαλόντας τῷ σκέμματι, καὶ ὡς ἀληθῆ συντιθεμένους, ἀλλ', ὡς ἂν εἴποι τις, εἰσωθουμένους, καὶ ἐν στενῷ τῶν λόγων ἀπειλημμένους, καὶ μεῖζον ἀναγκαζομένους κακὸν ἀνελεῖν. τὸ δὲ ἦν, πᾶσαν ἁμαρτίαν εἶναι καθάρσιμον, ὥς τισιν ἔδοξε. τὸ γὰρ ἀπεναντίας τῇ τῶν πολλῶν δόξῃ ἰέναι βίαιον νομίσαντες, ὡς ἔοικε, καὶ δειλιάσαντες μὴ ἀπίθανον τὸν λόγον ποιήσωσιν, ἐὰν ἐκείνων πᾶσαν ἀνομίαν νομιζόντων καθάρσιμον, αὐτοὶ ἐκ τοῦ ἐναντίου ἀποφαίνοιντο μηδεμίαν, μέσην ἐβάδισαν, τὸ ἔλαττον δόντες, ἵνα μᾶλλον πιθανὸν τὸν λόγον ποιήσαντες, τὸ μεῖζον ἀνέλοιεν. οἷς δέ τινες οἰκονομικῶς εἶπον τούτοις μὴ μέχρι παντὸς ἕπεσθαι δεῖν, πάντες ἂν φαίημεν, καίτοι εἰ οἱ οὕτω φρονοῦντες καὶ μάλα τοῦτο δοξάζοντες, τὰ περὶ τούτου ἐξέθεντο, οὐδ' οὕτως ἡμῖν ἀναγκαῖον ἐστὶν ἕπεσθαι καὶ πείθεσθαι ταύτῃ τῇ δόξῃ. εἰ γὰρ ἐκ τοῦ ῥητοῦ Παύλου τοῦ μακαρίου ὁρμῶνται πρὸς τοῦτο, κἀκεῖθεν ἐπιχειροῦσι, νομίζοντες περὶ τοιούτου τινὸς ἐκεῖνον ἐκεῖ λέγειν προσκαίρου πυρὸς (τὸ δὲ ὅ,τι νοεῖ μάλιστα εἴρηται) τά τε Ἰωάννῃ Χρυσοστόμῳ εἰρημένα ἐνθεμένοις ἡμῖν, ἅτε ὑπ' αὐτοῦ τοῦ λόγου ἀκολουθίας παντάπασι διαφέροντα ταύτης τῆς ἐννοίας καθ' ἣν οἱ δυτικοὶ ἐξεδέξαντο ἅγιοι· πῶς ἂν ἡμεῖς ῥαδίως πιστεύσαιμεν λόγῳ ἐκ τοιούτου τινὸς ἔχοντι τὴν ἀρχήν, ὅπερ ἡμῖν οὐ δοκεῖ, κἀκεῖθεν ὁρμωμένῳ, ὅθεν συνάγεται τοὐναντίον;

Καὶ μὴν καὶ φατὲ τὸν μακάριον Γρηγόριον ἐν τῷ τετάρτῳ τοῦ διαλόγου λόγῳ, πλεῖστον ὡς ὑποδείγμασι καὶ ἀποκαλύψεσιν ἀποδεικνῦναι τὸ καθαρτήριον. ἀποφαίνεται μὲν ἀληθῶς εἶναι τὸ καθαρτήριον πῦρ μετὰ θάνατον πρὸ τῆς μελλούσης ἐκείνης κρίσεως, εἴτε ἀλληγορικῶς τοῦτο νοῶν, εἴτε καὶ ἀληθῶς οὕτω δοξάζων. ἃ δὲ ἐπάγει ῥητὰ παρὰ τῆς γραφῆς πρὸς τὴν τούτων σύστασιν, οὐδὲν ὅλως ἀναγκαῖον μεθ' ἑαυτῶν ἔχουσιν, ὡς καὶ πρότερον ἡμῖν εἴρηται. καὶ τὰ διηγήματα δὲ καὶ αἱ ἀποκαλύψεις, ἃς παρατίθησιν, οὐδὲν ὅλως ἀφωρισμένον ἐν τόπῳ τινὶ καθαρτήριον πῦρ ὑποφαίνουσι. τοὺς μὲν γὰρ τῶν οὕτω καθαιρομένων εἰς τὰ θερμά φησι παραδιδομένους τοῖς λουομένοις ὑπηρετεῖν, τοὺς δὲ διὰ ἀποκαλύψεως φανῆναι κατὰ καιομένοις ἐν διαφόροις τόποις. ἅπερ ἅπαντα φαίνεται μηδὲν ἄλλο εἶναι, πλὴν θαύματα καὶ ἀποκαλύψεις εἰς ἐπιστροφὴν τῶν ζώντων καὶ διόρθωσιν παρὰ Θεοῦ μερικῶς γνωριζόμενα. καθολικὸν δὲ εἶναι πῦρ ἐξ αὐτῶν καθαρτήριον, οὐδὲν οὐδαμῶς ἐξ ἀνάγκης δείκνυται. καὶ μὴν καὶ δι' ὧν ἐφεξῆς ἐπάγει, τὸ τοιοῦτον δόγμα τοῦ καθαρτηρίου πυρὸς ἀναιρεῖται. τὰ μὲν γὰρ τῶν εἰρημένων ἐλαφρῶν καὶ ἐλαχίστων ἁμαρτημάτων ἐν τοῖς δικαίοις δι' ἀντιστηκώσεως ἑτέ-

ρων ἀγαθῶν πράξεων ἐν τῇ ζωῇ ταύτῃ φησὶ καθαίρεσθαι· τὰ δὲ ἐν τῇ ἐξόδῳ τῶν ψυχῶν ἐκ σώματος, δι' αὐτοῦ καὶ μόνου τοῦ φόβου καθαίρεσθαι παραδίδωσι· τὰ δὲ καὶ μετὰ θάνατον, διὰ τῶν ὑπὲρ αὐτῶν γινομένων εὐποιϊῶν τε καὶ προσφορῶν.

Ἐπεὶ δὲ καὶ ἀπὸ τοῦ κράτους ἐπεχειρήσατε τῆς Ῥωμαϊκῆς ἐκκλησίας, ὅπερ πέμπτον μὲν ὑμεῖς τοῖς ἄλλοις ἐπιχειρήμασιν ἐνετάξατε, ἡμεῖς δὲ εἰς τόδε ἀνεβαλλόμεθα, οὐ δεῖ ὑμᾶς ἀγνοεῖν, ὅτι εἰ οὕτως εἴχομεν γνώμης περὶ ἀλλήλων ἀμφότεροι, ὡς τὰ παρὰ τῆς ἑκατέρας ἐκκλησίας κρατοῦντα ταῦτα ἡγεῖσθαι καὶ κύρια, οὐδέποτ' ἂν ἀλλήλοις συνήλθομεν, οὐδ' εἰς λόγους ἤλθομεν ἄν. ἀλλ' αὐτὸ τὸ πρῶτον καὶ μέγιστον τῆς ἡμετέρας συνελεύσεως αἴτιον, τὸ πάσης ἀφιεμένοις προλήψεως, καὶ παντὸς ἔθους μὴ καὶ τῷ λόγῳ βοηθουμένου, γυμνῶς κρῖναι τὰ πράγματα, παραθεμένους παρὰ τὰ λόγια καὶ τὰς ἀποφάνσεις τῶν διδασκάλων, κανόσιν αὐτοῖς χρησαμένους, καὶ στάθμαις πρὸς ταῦτα. ἐπεί τοίγε ἐὰν μὴ οὕτω, ἀλλὰ τῷ ἔθει τὰ πράγματα κρίνωμεν, πάνθ' οὕτως ἐξέσται λύειν ἀμφοῖν, καὶ συμβησόμεθα ἀλλήλοις οὐδέποτε. οὕτω μὲν οὖν οὔτ' ἐντεῦθεν, οὔτ' ἐκ τῶν εἰσηνεγμένων ῥητῶν οὐδενὸς ἔχοιεν ἂν τὰ παρ' ὑμῶν τὴν ἀνάγκην.

Ἐπεὶ δὲ τελευταῖον καὶ λογισμῷ πρὸς τὸ προκείμενον ἐχρήσασθε συνεργῷ, καὶ ἀπὸ τῆς Θεοῦ δικαιοσύνης ἐπεχειρήσατε, γινώσκειν ὑμᾶς ἀναγκαῖον, ὅτι καὶ ἡμῖν οὐχ ἥκιστα δυνατὸν λογισμοῖς τισὶν πρὸς ἅπερ ἡμεῖς λέγομεν χρήσασθαι, καὶ αὐτὰ τἀναντία συναγαγεῖν ὧν ὑμεῖς συμπεραίνετε, ἀπό τε τῆς φιλανθρωπίας τῆς τοῦ Θεοῦ ὁρμώμενοι, προσέτι δὲ καὶ τῆς τῶν ἐκεῖσε διαφόρων μονῶν ἀνάγκης, καὶ τῶν τῆς ἀπολαύσεως ἐκείνης βαθμῶν, ἥτις ἐξ ἀνάγκης ἀπαιτεῖ μὴ κεκαθάρθαι πάντας ἐπίσης. ἔτι δὲ ἐξ ἄλλων λόγων πολλῶν, ὧν τοὺς μὲν πλείους ἐν καιρῷ ἀποδώσομεν, εἰ δεήσει· τὰ νῦν δὲ ὀλίγα τινὰ περὶ τούτων εἰπόντες, τὸν λόγον καταπαύσομεν ἐπὶ τούτοις. φαμὲν γὰρ μᾶλλον προσήκειν τῇ ἀγαθότητι τοῦ Θεοῦ τὸ ὀλίγον ἀγαθὸν μὴ παιδεύειν, ἢ τὴν σμικρὰν ἁμαρτίαν δίκης ἀξιοῦν. ἀλλὰ τὸ ὀλίγον ἀγαθὸν ἐν τοῖς μεγάλα ἡμαρτηκόσιν οὐδεμιᾶς ἀμοιβῆς ἐπιτυγχάνειν διὰ τὴν τῆς πονηρίας πλεονεξίαν. οὐδ' ἄρα τὸ ὀλίγον κακὸν ἐν τοῖς μεγάλα κατωρθωκόσι προσήκει δίκης τυχεῖν, διὰ τὸ τὰ βελτίω νικᾶν. εἰ γὰρ τὸ μᾶλλον δοκοῦν οὐκ ἔστι, σχολῇ τό γε ἧττον ὂν εἴη· οὐδ' ἄρα πῦρ καθαρτήριον προσήκει νομίζειν.

Ἔτι ὡς ἔχει τὸ ὀλίγον ἀγαθὸν ἐν τοῖς τ' ἄλλα φαύλοις, οὕτω τὸ ὀλίγον κακὸν ἐν τοῖς τ' ἄλλα ἀγαθοῖς. ἀλλὰ τὸ ὀλίγον ἀγαθὸν ἐν ἐκείνοις οὐ δύναται ἀγαθῶν ἀνταπόδοσιν ποιεῖν, ἀλλὰ μόνον διαφορὰν ἀπολαύσεως. οὐκ ἄρα πῦρ καθαρτήριον νομιστέον.

Ἔτι, ἡ τῆς αἰωνίου κολάσεως δικαιοσύνη κατὰ τοῦτο μάλιστα δείκνυται, μετὰ τὸ ἀμετάβλητον τῆς τῶν ἡμαρτηκότων θελήσεως. τῇ γὰρ ἀϊδίῳ πονηρίας θελήσει καὶ ἀΐδιος ὀφείλεται δίκη. ὥσπερ καὶ τοὐναντίον κατὰ τὸ ἀκόλουθον δή, εἰ ἡ τοῦ πονηροῦ ἀκίνητος ἀϊδίως θέλησις ἀϊδίῳ δίκῃ κολάζεται, ὃς δὴ εὐθύνεται οὐδ' ἀμεταβλήτην θέλησιν ἔχει. εἰ γὰρ ὑπὸ τοῦ πονηροῦ, αἰωνίῳ δίκῃ τηρεῖται· εἰ δὲ τοῦ ἀγαθοῦ, τίς χρεία κολάσεως ὧν γε στεφανοῦν προσήκει; ἀλλὰ μὴν τοὺς τούτῳ καθαιρομένους τῷ πυρί, θέλησιν ἀμετάβλητον ἔχειν φατὲ καὶ ὑμεῖς. οὐκ ἄρα πυρὶ τούτους ἀνάγκη καθαίρεσθαι.

Ἔτι, εἰ τὸ τέλειον ἔπαθλον τοῖς καθαροῖς τῇ καρδίᾳ καὶ τῇ ψυχῇ τὸ ἰδεῖν τὸν Θεόν, τούτου δὲ οὐχ ὅμοιοι πάντες ἐπιτυγχάνουσιν, οὐδ' ἄρα τῆς αὐτῆς καθάρσεώς εἰσιν ἅπαντες, οὐδ' ἄρα χρεία τοῦ καθαρτηρίου πυρός, εἴπερ ἐν τισὶν ἐλλιπὴς ἡ κάθαρσις ᾖ. καὶ γὰρ ἂν ἦσαν ἅπαντες ἐπ' ἴσης κεκαθαρμένοι διὰ τοῦ αὐτοῦ πυρός, καὶ πρὸς θεοπτίαν ὁμοίως ἔχοντες.

τοῦτο δὲ καὶ διὰ τῆς παραβολῆς ὥσπερ συμβολικῶς τε καὶ τυπικῶς ἐσήμανε. τοῦτο γὰρ ὁ πολλῆς τῆς αὐτῆς φαίνεται [illegible] τάξεως· ἀλλ' ὁ μὲν τις, ὁ δὲ τοῖς [illegible] μᾶλλον (οἶμαι) τῆς ἑαυτοῦ καθάρσεως ἔμπειρος [illegible] θεολόγον Γρηγόριον. Ἔτι ὁ ἐν τοῖς ἁγίοις μέγας Γρηγόριος ὁ θεολόγος τὸν περὶ τοῦ πάσχα λόγον θεωρητικῶς καὶ ἀναγωγικῶς ποιούμενος, ἐλθὼν εἰς τὸ μέρος ἐν ᾧ φησιν, Οὐκ ἐξοισόμεθα δ' οὐδέν, οὐδὲ εἰς τὸ πρωῒ καταλείψομεν· ἀποφαίνεται οὕτως· Οὕτω καὶ καθαρῶς, ὅτι μὴ ὑπὲρ τὴν νύκτα ταύτην ἐστί τις κάθαρσις, νύκτα μὲν τὸν ἐντεῦθεν παρόντα βίον [illegible] καὶ μηδεμίαν κάθαρσιν μετ' αὐτὸν εἶναι παραχαράττων.

Γρηγόρ. ὁ θεολόγ.

Ὁ αὐτός.

Ἔτι ὁ αὐτὸς ἐν τῷ εἰς τὴν πληγὴν τῆς χαλάζης λόγῳ, διαγορεύων οὕτως, Ἐνῶ λέγειν τὰ ἐκεῖσε δικαιωτήρια οἷς ἐνταῦθα φειδοὶ παραδίδωσιν, ὡς βέλτιον εἶναι νῦν παιδευθῆναι καὶ καθαρθῆναι, ἢ τῇ ἐκεῖθεν βασάνῳ παραπεμφθῆναι, ἡνίκα κολάσεως καιρός, οὐ καθάρσεως· παρίστησι φανερῶς, μηδεμίαν εἶναι κάθαρσιν μετὰ τὴν ἐνθένδε ἀπαλλαγήν, ἀλλ' ἢ μόνον τὴν αἰώνιον κόλασιν.

Λουκ. ις.

Ἔτι ὁ κύριος ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ περὶ τοῦ πλουσίου καὶ Λαζάρου διδάσκων τὴν ἑκατέρου διαδεξάμενον κλῆρον, Τὸν μὲν Λάζαρον φησίν, ἅμα τῷ ἀποθανεῖν ἀπενεχθῆναι ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον τοῦ Ἀβραάμ· τὸν δὲ πλούσιον ὁμοῦ τε ἀποθανόντα, καὶ τὴν ψυχὴν αὐτοῦ ἀφαιρεθεῖσαν ἐν [illegible] ὑπάρχειν ἐν βασάνοις. καὶ οὕτω διὰ μὲν κόλπον τοῦ Ἀβραὰμ τὴν ἀκροτάτην κατάστασιν ἐν τῇ εὐδαίμονι λήξει τῶν θεοφίλων ἐμφῆναι· διὰ δὲ τοῦ ᾅδου καὶ τῶν βασάνων, τὴν ἐσχάτην κατάκρισιν καὶ αἰωνίαν δίκην τῶν ἁμαρτωλῶν παραστῆσαι, οὐκέτι μεταξὺ τούτων ἕτερον τόπον καταλείπει, πρόσκαιρόν τινα βάσανον ἔχοντα· ἀλλ' ἢ χάσμα μέγα καὶ ἀδιάβατον διεῖργον ἑκατέρους ἐξ ἀλλήλων, καὶ τὴν ἄκραν καὶ ἄμεσον ἐναντίωσιν παριστῶν. Ἔτι τὴν ψυχὴν ἀπαλλαγεῖσαν τοῦ σώματος, καὶ ἀσώματον πάντη καὶ ἄϋλον γινομένην, οὐκ ἔστιν εἰκὸς ὑπὸ σωματικοῦ πυρὸς κολάζεσθαι, τοῦ σώματος αὐτῆς, οὗ τὸ πῦρ ἔμελλε περιδράττεσθαι, διαφθαρέντος. μετὰ γὰρ τὴν ἀνάστασιν ἐπενδυσαμένη τὸ σῶμα ἄφθαρτον, καὶ τῆς κτίσεως πάσης ἀλλοιωθείσης, καὶ διαιρεθέντος τοῦ πυρός, ὡς μανθάνομεν, εἰκὸς αὐτῇ τὴν ἀπὸ τούτου κόλασιν κατάλληλον ἔσεσθαι, καὶ οὐκ αὐτῇ μόνον, ἀλλὰ καὶ τοῖς δαίμοσιν, ἅτε καὶ τοῖς ζοφεροῖς οὖσι, καὶ ἔχ ὕλην τινὰ καὶ παχύτητα περιβεβλημένοις καὶ σώματα ἀέρια ἢ πύρια, κατὰ τὸν μέγαν Βασίλειον. πρὶν δὲ τὸ οἰκεῖον σῶμα ἀπολαβεῖν, εἶδος οὖσα μόνον τῆς ὕλης ἄμικτον, εἰ καὶ καθ' ἑαυτὴν ὑφέστηκε, πῶς ἂν ὑπὸ τοῦ σωματικοῦ πυρὸς κολάζεσθαι δύναται; Ἔτι οἱ τὸν ἰσάγγελον ἐπὶ γῆς πολιτευσάμενοι βίον ὅσιοι πατέρες ἡμῶν, πολλαχοῦ καὶ πολλάκις δι' ὀπτασιῶν καὶ ἐνυπνίων καὶ ἑτέρων θαυμάτων τὰ περὶ τῆς αἰωνίου κολάσεως καὶ τῶν ἐν αὐτῇ ἀσεβῶν καὶ ἁμαρτωλῶν αὐτοί γε μυούμενοι καὶ τοὺς ἄλλους μυοῦντες, καὶ ὡς παρόντα, καὶ ὡς ἤδη γινόμενα θέμενοί τε καὶ δεικνῦντες τῷ λόγῳ, καθάπερ καὶ ἡ κατὰ Λουκᾶν παραβολὴ διαζωγραφεῖ, περὶ καθαρτηρίου προσκαίρου πυρὸς οὐδὲν οὐδαμῶς διεσάφησαν. Ἔτι τὸ τῆς ἀποκαταστάσεως δόγμα, καὶ τοῦ τέλους τῆς αἰωνίου κολάσεως, παρὰ Ὠριγένους ὡς εἴρηται, τὴν ἀρχὴν εἰληφός, καί τινων τῶν τῆς ἐκκλησίας ἐπικρατούντων, ὧν ἐστι καὶ Δίδυμος, καὶ Εὐάγριος, ἅτε τὴν τοῦ Θεοῦ φιλανθρωπίαν προβαλλόμενον, καὶ εὐπαράδεκτον ἐν τοῖς ῥαθύμοις γινόμενον, ὡς ὁ θεοφόρος Ἰωάννης ὁ τῆς οὐρανοῦ κλίμακος ἀρχιτέκτων φησίν, ὅμως ἀπεκηρύχθη καὶ ἀνεθεματίσθη παρὰ τῆς ἁγίας πέμπτης καὶ οἰκουμενικῆς συνόδου, ὡς ἔκλυσιν ταῖς ψυχαῖς ἐμποιοῦν, καὶ τοὺς ῥαθύμους ἔτι ῥαθυμοτέρους ἀπεργαζόμενον, ἐκδεχομένους ποτὲ τὴν τῶν βασάνων λύτρωσιν, καὶ τὴν ἐπηγγελμένην ἀποκατάστασιν.

Διὰ τὰ αὐτὰ νῦν καὶ τὸ προκείμενον δόγμα τοῦ καθαρτηρίου πυρὸς ἀποβλητέον ἂν εἴη τῇ ἐκκλησίᾳ, ὡς ῥαθυμίαν ἐμποιοῦν τοῖς ἀνθρώποις, ἐπιτείνον αὐτοὺς μὴ πᾶσι τρόποις ἀγωνίζεσθαι κατὰ τὸν παρόντα βίον ἑαυτοὺς ἐκκαθαίρειν, ὡς προσδοκουμένης ἑτέρας καθάρσεως.

ΤΕΛΟΣ.